**5** ἡμετέρωι βασιλῆϊ, θεοῖσι φίλωι Θεοπόμπωι,
ὃν διὰ Μεσσήνην εἵλομεν εὐρύχορον,
Μεσσήνην ἀγαθὸν μὲν ἀροῦν, ἀγαθὸν δὲ φυτεύειν·
ἀμφ' αὐτὴν δ' ἐμάχοντ' ἐννέα καὶ δέκ' ἔτη
νωλεμέως αἰεὶ ταλασίφρονα θυμὸν ἔχοντες
αἰχμηταὶ πατέρων ἡμετέρων πατέρες·
εἰκοστῶι δ' οἱ μὲν κατὰ πίονα ἔργα λιπόντες
φεῦγον Ἰθωμαίων ἐκ μεγάλων ὀρέων.

1-2 Paus. 4. 6. 5 3 Schol. Plat. *Leg.* 629a ἀφικόμενος δὲ οὗτος (Tyrtaeus) εἰς Λακεδαίμονα καὶ ἐπίπνους γενόμενος συνεβούλευσεν αὐτοῖς ἀνελέσθαι τὸν πρὸς Μεσσηνίους πόλεμον, προτρέπων παντοίως· ἐν οἷς καὶ τὸ φερόμενον εἰπεῖν ἔπος, "Μεσσήνην — φυτεύειν"; Olympiod. in *Alc. I* p. 103 Westerink (schol. p. 100 Greene) 4—8 Strabo 6. 3. 3 p. 279; 4-6 Paus. 4. 15. 2; 7-8 Paus. 4. 13. 6

**6** Paus. 4. 14. 5 ⟨ἐς τὰς⟩ τιμωρίας δὲ ἃς ὕβριζον ἐς τοὺς Μεσσηνίους Τυρταίῳ πεποιημένα ἐστίν·

ὥσπερ ὄνοι μεγάλοις ἄχθεσι τειρόμενοι,
δεσποσύνοισι φέροντες ἀναγκαίης ὕπο λυγρῆς
ἥμισυ πάνθ' ὅσσων καρπὸν ἄρουρα φέρει.

**7** ὅτι δὲ καὶ συμπενθεῖν ἔκειτο αὐτοῖς ἀνάγκη δεδήλωκεν ἐν τῷδε·
δεσπότας οἰμώζοντες, ὁμῶς ἄλοχοί τε καὶ αὐτοί,
εὖτέ τιν' οὐλομένη μοῖρα κίχοι θανάτου.

**8** Strabo 8. 4. 10 p. 362 πλεονάκις δὲ ἐπολέμησαν διὰ τὰς ἀποστάσεις τῶν Μεσσηνίων. τὴν μὲν οὖν πρώτην κατάκτησιν αὐτῶν φησιν Τυρταῖος ἐν τοῖς ποιήμασι κατὰ τοὺς τῶν πατέρων πατέρας γενέσθαι (fr. 5. 6)· τὴν δὲ δευτέραν, καθ' ἣν ἑλόμενοι συμμάχους Ἀργείους τε καὶ †Ἠλείους καὶ Πισάτας ἀπέστησαν, Ἀρκάδων μὲν Ἀριστοκράτην τὸν Ὀρχομενίων βασιλέα παρεχομένων στρατηγόν, Πισατῶν δὲ Πανταλέοντα τὸν Ὀμφαλίωνος, ἡνίκα φησὶν αὐτὸς στρατηγῆσαι τὸν πόλεμον τοῖς Λακεδαιμονίοις.

**9** Arist. *Eth. Nic.* 3. 8. 5 p. 1116a36 καὶ οἱ προτάττοντες, κἂν ἀναχωρῶσι τύπτοντες, τὸ αὐτὸ δρῶσι· καὶ οἱ πρὸ τῶν τάφρων καὶ τῶν τοιούτων παρατάττοντες. Eustrat. ad loc. (*Comm. in Arist. Graeca* xx. 165. 1) τοῦτο περὶ Λακεδαιμονίων λέγοι ἄν· τοιαύτην γάρ τινα μάχην ὅτε πρὸς Μεσσηνίους ἐπολέμουν ἐμαχέσαντο, ἧς καὶ Τυρταῖος μνημονεύει.

**10** Lycurg. *in Leocr.* 107
τεθνάμεναι γὰρ καλὸν ἐνὶ προμάχοισι πεσόντα
ἄνδρ' ἀγαθὸν περὶ ἧι πατρίδι μαρνάμενον·
τὴν δ' αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγροὺς
πτωχεύειν πάντων ἔστ' ἀνιηρότατον,
πλαζόμενον σὺν μητρὶ φίληι καὶ πατρὶ γέροντι
παισί τε σὺν μικροῖς κουριδίηι τ' ἀλόχωι.
ἐχθρὸς μὲν γὰρ τοῖσι μετέσσεται οὕς κεν ἵκηται,
χρησμοσύνηι τ' εἴκων καὶ στυγερῆι πενίηι,
αἰσχύνει τε γένος, κατὰ δ' ἀγλαὸν εἶδος ἐλέγχει,
πᾶσα δ' ἀτιμίη καὶ κακότης ἕπεται.
†εἶθ' οὕτως ἀνδρός τοι ἀλωμένου οὐδεμί' ὤρη

---

**5** 1–2 cum 3 coniunxit Buttmann, 1–3 cum 4–8 Bergk 3 ἀγαθὴν bis Buttmann φυτεῦσαι Olympiod. 4 ἄμφω τῶδε Strabonis codd.: ἀμφ' αὐτῇ Richards
**6** 3 fort. ἥμισα πᾶν Kuhn φέροι conieci



**8** Ἠλείους: Ἀρκάδας Kramer
**10** codd. primarii NA s. xiv 1 ἐπὶ codd.: corr. Francke 2 ᾗ apogr.: τῇ ἑαυτοῦ NA 3 ἣν Francke 7 μὲν add. A p.c., om. N 8 χρημοσύνῃ εἴκων van Herwerden 9 δὲ Hartung 10 παισὶ Epkema 11 εἶθ' οὕτως· Lycurgo tribuit Thiersch: fort. ἴσθ' (ἴστε) vel ἔσθ': εἰ δ' Francke

γίνεται οὔτ' αἰδὼς οὔτ' ὀπίσω γένεος.
θυμῶι γῆς πέρι τῆσδε μαχώμεθα καὶ περὶ παίδων
θνήσκωμεν ψυχέων μηκέτι φειδόμενοι.
ὦ νέοι, ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες,
μηδὲ φυγῆς αἰσχρῆς ἄρχετε μηδὲ φόβου,
ἀλλὰ μέγαν ποιεῖσθε καὶ ἄλκιμον ἐν φρεσὶ θυμόν,
μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι·
τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γούνατ' ἐλαφρά,
μὴ καταλείποντες φεύγετε, τοὺς γεραιούς.
αἰσχρὸν γὰρ δὴ τοῦτο, μετὰ προμάχοισι πεσόντα
κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,
ἤδη λευκὸν ἔχοντα κάρη πολιόν τε γένειον,
θυμὸν ἀποπνείοντ' ἄλκιμον ἐν κονίηι,
αἱματόεντ' αἰδοῖα φίλαις ἐν χερσὶν ἔχοντα —
αἰσχρὰ τά γ' ὀφθαλμοῖς καὶ νεμεσητὸν ἰδεῖν,
καὶ χρόα γυμνωθέντα· νέοισι δὲ πάντ' ἐπέοικεν,
ὄφρ' ἐρατῆς ἥβης ἀγλαὸν ἄνθος ἔχηι,
ἀνδράσι μὲν θηητὸς ἰδεῖν, ἐρατὸς δὲ γυναιξὶ
ζωὸς ἐών, καλὸς δ' ἐν προμάχοισι πεσών.
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισι
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών.

**11** Stob. 4. 9. 16

ἀλλ', Ἡρακλῆος γὰρ ἀνικήτου γένος ἐστέ,
θαρσεῖτ'· οὔπω Ζεὺς αὐχένα λοξὸν ἔχει·

**10** 12 οὐδ'... οὔτ' recc. : οὐδ'... οὐδ' Wilamowitz  γένεος Ahrens : τέλος NA : οὔτ' ὄπις οὔτ' ἔλεος Bergk  post h.v. deesse aliquid suspicor, nisi v. 13 novum excerptum incipit; 13–14 ante 1 transp. Wassenbergh  15 elegiae initium stat. Heinrich  20 τοὺς γεραιοὺς N, τοὺς γηραιοὺς A : ἀνηλεγέως Kayser, alii alia  21 γὰρ δὴ N : μὲν γὰρ A  26 τ' Hermann  νεμεσητὰ noluit Francke  28 ἐρατῆς recc. : ἀρετῆς NA  29 θηητὸς Reiske : θνητοῖσιν codd.  31-2 = 11.21–2





μηδ' ἀνδρῶν πληθὺν δειμαίνετε, μηδὲ φοβεῖσθε,
ἰθὺς δ' ἐς προμάχους ἀσπίδ' ἀνὴρ ἐχέτω,
ἐχθρὴν μὲν ψυχὴν θέμενος, θανάτου δὲ μελαίνας
κῆρας ⟨ὁμῶς⟩ αὐγαῖς ἠελίοιο φίλας.
ἴστε γὰρ ὡς Ἄρεος πολυδακρύου ἔργ' ἀΐδηλα,
εὖ δ' ὀργὴν ἐδάητ' ἀργαλέου πολέμου,
καὶ μετὰ φευγόντων τε διωκόντων τ' ἐγέ⟨νε⟩σθε
ὦ νέοι, ἀμφοτέρων δ' ἐς κόρον ἠλάσατε.
οἳ μὲν γὰρ τολμῶσι παρ' ἀλλήλοισι μένοντες
ἔς τ' αὐτοσχεδίην καὶ προμάχους ἰέναι,
παυρότεροι θνήσκουσι, σαοῦσι δὲ λαὸν ὀπίσσω·
τρεσσάντων δ' ἀνδρῶν πᾶσ' ἀπόλωλ' ἀρετή.
οὐδεὶς ἄν ποτε ταῦτα λέγων ἀνύσειεν ἕκαστα,
ὅσσ', ἢν αἰσχρὰ μάθηι, γίνεται ἀνδρὶ κακά·
ἀργαλέον γὰρ ὄπισθε μετάφρενόν ἐστι δαΐζειν
ἀνδρὸς φεύγοντος δηΐωι ἐν πολέμωι·
αἰσχρὸς δ' ἐστὶ νέκυς κατακείμενος ἐν κονίηισι
νῶτον ὄπισθ' αἰχμῆι δουρὸς ἐληλάμενος.
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισι
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών,
μηρούς τε κνήμας τε κάτω καὶ στέρνα καὶ ὤμους
ἀσπίδος εὐρείης γαστρὶ καλυψάμενος·
δεξιτερῆι δ' ἐν χειρὶ τινασσέτω ὄβριμον ἔγχος,
κινείτω δὲ λόφον δεινὸν ὑπὲρ κεφαλῆς·
ἔρδων δ' ὄβριμα ἔργα διδασκέσθω πολεμίζειν,
μηδ' ἐκτὸς βελέων ἑστάτω ἀσπίδ' ἔχων,
ἀλλά τις ἐγγὺς ἰὼν αὐτοσχεδὸν ἔγχεϊ μακρῶι
ἢ ξίφει οὐτάζων δήϊον ἄνδρ' ἑλέτω,

**11** 6 ὁμῶς suppl. Grotius  7 οἶ' Ἄρεος Stadtmüller : Ἄρηος Emperius  πολυδάκρυος idem tacite  ἀΐδηλα recc. : ἀρίδηλα SMA  9 ἐγεσθε vel ἐγευσθε S, ἔγεσθε M, ἄγεσθε A : corr. recc.  13 an ὄπισθεν?  14 ἀπώλετ' S a.c., πώλετο (sscr. α) A  16 μάθη scripsi : πάθη codd.  19 κακκείμενος A  21–2 = 10.31-2

καὶ πόδα πὰρ ποδὶ θεὶς καὶ ἐπ' ἀσπίδος ἀσπίδ' ἐρείσας,
ἐν δὲ λόφον τε λόφωι καὶ κυνέην κυνέηι
καὶ στέρνον στέρνωι πεπλημένος ἀνδρὶ μαχέσθω,
ἢ ξίφεος κώπην ἢ δόρυ μακρὸν ἔχων.
ὑμεῖς δ', ὦ γυμνῆτες, ὑπ' ἀσπίδος ἄλλοθεν ἄλλος
πτώσσοντες μεγάλοις βάλλετε χερμαδίοις
δούρασί τε ξεστοῖσιν ἀκοντίζοντες ἐς αὐτούς,
τοῖσι πανόπλοισιν πλησίον ἱστάμενοι.

**12** Stob. 4. 10. 1 (1-14) + 6 (15-44)

οὔτ' ἂν μνησαίμην οὔτ' ἐν λόγωι ἄνδρα τιθείην
οὔτε ποδῶν ἀρετῆς οὔτε παλαιμοσύνης,
οὐδ' εἰ Κυκλώπων μὲν ἔχοι μέγεθός τε βίην τε,
νικώιη δὲ θέων Θρηΐκιον Βορέην,
οὐδ' εἰ Τιθωνοῖο φυὴν χαριέστερος εἴη,
πλουτοίη δὲ Μίδεω καὶ Κινύρεω μάλιον,
οὐδ' εἰ Τανταλίδεω Πέλοπος βασιλεύτερος εἴη,
γλῶσσαν δ' Ἀδρήστου μειλιχόγηρυν ἔχοι,
οὐδ' εἰ πᾶσαν ἔχοι δόξαν πλὴν θούριδος ἀλκῆς·
οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίνεται ἐν πολέμωι
εἰ μὴ τετλαίη μὲν ὁρῶν φόνον αἱματόεντα,
καὶ δηίων ὀρέγοιτ' ἐγγύθεν ἱστάμενος.
ἥδ' ἀρετή, τόδ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον
κάλλιστόν τε φέρειν γίνεται ἀνδρὶ νέωι.
ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληΐ τε παντί τε δήμωι,

1-20 cf. Plat. *Leg.* 629a-630b; 1-12 cf. ib. 660e-1a
13-16 Theogn. 1003-6

---

**11** 33 πεπαλημένος codd. : corr. Brunck 34 ἔχων scripsi : ἑλὼν codd. 37 ξυστοῖσιν Bergk, -οῖσί τ' Hartung 38 πανοπλίοισι(ν) codd. : corr. W. Dindorf : πανοπλίταις recc.
**12** fort. carmen integrum (Francke, alii) Stobaei codd. SMA 1 ἐν M Plato bis: ἂν SA τιθείμην Plato bis 6 κινυρέοιο μᾶλλον codd. : corr. M. Schmidt 11 ὁρᾶν Pl. 629e πόνον A a.c. 14 σοφῷ Thgn.





ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένηι
νωλεμέως, αἰσχρῆς δὲ φυγῆς ἐπὶ πάγχυ λάθηται,
ψυχὴν καὶ θυμὸν τλήμονα παρθέμενος,
θαρσύνηι δ' ἔπεσιν τὸν πλησίον ἄνδρα παρεστώς·
οὗτος ἀνὴρ ἀγαθὸς γίνεται ἐν πολέμωι.
αἶψα δὲ δυσμενέων ἀνδρῶν ἔτρεψε φάλαγγας
τρηχείας· σπουδῆι δ' ἔσχεθε κῦμα μάχης,
αὐτὸς δ' ἐν προμάχοισι πεσὼν φίλον ὤλεσε θυμόν,
ἄστυ τε καὶ λαοὺς καὶ πατέρ' εὐκλεΐσας,
πολλὰ διὰ στέρνοιο καὶ ἀσπίδος ὀμφαλοέσσης
καὶ διὰ θώρηκος πρόσθεν ἐληλάμενος.
τὸν δ' ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
ἀργαλέωι δὲ πόθωι πᾶσα κέκηδε πόλις,
καὶ τύμβος καὶ παῖδες ἐν ἀνθρώποις ἀρίσημοι
καὶ παίδων παῖδες καὶ γένος ἐξοπίσω·
οὐδέ ποτε κλέος ἐσθλὸν ἀπόλλυται οὐδ' ὄνομ' αὐτοῦ,
ἀλλ' ὑπὸ γῆς περ ἐὼν γίνεται ἀθάνατος,
ὅντιν' ἀριστεύοντα μένοντά τε μαρνάμενόν τε
γῆς πέρι καὶ παίδων θοῦρος Ἄρης ὀλέσηι.
εἰ δὲ φύγηι μὲν κῆρα τανηλεγέος θανάτοιο,
νικήσας δ' αἰχμῆς ἀγλαὸν εὖχος ἕληι,
πάντές μιν τιμῶσιν, ὁμῶς νέοι ἠδὲ παλαιοί,
πολλὰ δὲ τερπνὰ παθὼν ἔρχεται εἰς Ἀΐδην,
γηράσκων δ' ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν
βλάπτειν οὔτ' αἰδοῦς οὔτε δίκης ἐθέλει,
πάντες δ' ἐν θώκοισιν ὁμῶς νέοι οἵ τε κατ' αὐτὸν
εἴκουσ' ἐκ χώρης οἵ τε παλαιότεροι.
ταύτης νῦν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι

37-42 imit. Theogn. 935-8

---

**12** 16 ἂν εὖ Upton , 19 δὲ πεσεῖν SMA : corr. Par. 2092 (s. xvi) (p.c., u.v.) 22 θ' S 37 νέοι : ἴσοι Thgn. v.l. 38 Ἀΐδεω Blaydes 39–40 post 42 transp. Thiersch; cf. Thgn. 39 δ' om Stob.A Thgn. 42 χώρης (-οις) εἴκουσιν Thgn. (τοί τε A)

πειράσθω θυμῶι μὴ μεθιεὶς πολέμου.

**13** Galenus *de Hp. et Plat. plac.* 3. 310 p. 275 Müller e Chrysippo (*Stoic. fr.* ii. 255. 22 von Arnim)

αἴθωνος δὲ λέοντος ἔχων ἐν στήθεσι θυμόν.

**14** Plut. *de Sto. repugn.* 14 p. 1039e e Chrysippo (*Stoic. fr.* iii. 39. 22 von Arnim)

πρὶν ἀρετῆς πελάσαι τέρμασιν ἢ θανάτου.

**19** P. Berol. 11675 fr. A col. ii

]. [. (.) .οσ[
βλητ]ῆράς τε λίθων κạ[ὶ
]ν ἔθνεσιν εἰδομ[ένους
βρ]οτολοιγὸς Ἄρης ακ[
]ịθείηι, τοὺς δ' ὑπερạ[
]. [.]ν ἐοικότες η̣[
. . . . . . .]ạι κοίλῃς ἀσπίσι φραξά̣μ[ενοι,
χωρὶς Πάμφυλοί τε καὶ Ὑλλεῖς ἠ̣δ̣[ὲ Δυμᾶνες,
ἀνδροφόνους μελίας χερσὶν ἀν[ασχόμενοι.
. . . .]δ' ἀθανάτοισι θεοῖς ἐπὶ πάντ̣[α τρέποντες
. . . .]ατερμ. .ιηι πεισόμεθ' ἡγεμ[ό
ἀλλ' εὐθὺς σύμπαντες ἀλοιησέο[μεν
ἀ]ν̣δ̣ράσι̣ν̣ αἰχμηταῖς ἐγγύθεν ἱσ[τάμενοι.
δεινὸς δ' ἀμφοτέρων ἔσται κτύπος̣[

**12** 44 θυμὸν S, M a.c. πόλεμον codd. : corr. Camerarius
**14** πρίν γ' Brunck
**19** 2 βλητ]ῆρας Snell fin. τοξότας ἄνδρας ego 3 σφηκῶ]ν Sitzler 4 ἀκ[όρητος ἀϋτῆς Wilamowitz 5 ἰθείῃ vel ]ι θείῃ 7 ]ạι potius quam ]ṿ e.g. ὀρσέοντ]αι 7–10 Wil. 10 οὕτω] Wil. : ἡμεῖς] Diehl : οὔπω] ego 11 . . : α, ε, ι, ο, tum ν vel χ ὄκνου] ἄτερ μονίῃ . . . ἡγεμ[όνων Wil. vix μανίῃ . . . ἡγεμ[όνι (-όνι Edmonds; -όσιν J.U. Powell; -όνος Diehl) 12 fin. e.g. ἐκείνους 13 Wil.





ạσ̣πίδας̣ εὐκύκλους ἀσπίσι τυπτ[
]ήσουσιν ἐπ' ἀλλήλοισι π[εσόντες·
θώρηκε]ς̣ ·δ' ἀνδρῶν στήθεσιν ἀμ[φι
λοιγὸ]ν̣ ἐρωήσ̣ουσιν ἐρεικόμενο[ι
αἱ δ' ὑπὸ] χερμαδίων βαλλόμεναι μ[εγάλων
χάλκεια]ι̣ κ̣[όρυ]θες̣ καναχὴ̣ν ἕξου[σι

**20** P. Berol. 11675 fr. B col. i

Διωνύσο]ιο τιθήνη̣ι̣
-κό]μου Σεμέλης[]
]ω̣εμψ̣. [. . .]σει
]
]. [
]μ̣ε̣νη[
]. [.]. [. (.)]ε̣ι̣κε̣λ̣ο̣ν̣[. .]. . [ ]
]α̣ φέρειν
ἀ]ε̣θλ̣ο̣φ[ό]ροι περὶ νίκης
τέ]ρμ' ἐπιδερκόμενοι
καλ]λ̣ί̣τροχον ἅρμα φέροντες
]όμενοι
]εύοντας ὄπισ̣θεν
]χαίτας̣ ὑ̣πὲρ κεφαλῆς
]συνοίσομεν ὀξὺν ἄρηα
]. θεσι̣ν̣. [.]. [
ο]ὐδὲ λο̣γήσει
]σ̣έχων̣[

**19** 15 τυπτ[ομένων Wil. : -ας Gercke 16 e.g. ἔγχεα δ' αἶψ'] ἤσουσιν fin. Lobel 17 Wil. ἀμ[φὶ φίλοις Wil., ἀμ[φίβολοι Gercke 18 ego fin. περὶ δουρὶ Allen : βελέεσσιν Sitzler 19–20 Wil. ἕξου[σι βαρεῖαν Sitzler
**20** 1 Wil. ηι vel ην̣, ης, ut possis ἐυζώνο]ιο τιθήνης 2 καλλι- (Wil.) vel ἠυ- 3. [: ε vel ι u.v. fort. ἐμψε[λιώσ]ει 13 fort. ν]εύοντας vel χ]εύοντας 16 fort. στήθεσιν 18 e.g. ἀλλά τις ἔγχο]ς

**5** Arist. *Ath. Pol.* 12. 1; Plut. *Sol.* 18. 5

*δήμωι μὲν γὰρ ἔδωκα τόσον γέρας ὅσσον ἐπαρκεῖν,*
*τιμῆς οὔτ' ἀφελὼν οὔτ' ἐπορεξάμενος·*
*οἳ δ' εἶχον δύναμιν καὶ χρήμασιν ἦσαν ἀγητοί,*
*καὶ τοῖς ἐφρασάμην μηδὲν ἀεικὲς ἔχειν·*
*ἔστην δ' ἀμφιβαλὼν κρατερὸν σάκος ἀμφοτέροισι,*
*νικᾶν δ' οὐκ εἴασ' οὐδετέρους ἀδίκως.*

**6** Arist. ib.

*δῆμος δ' ὧδ' ἂν ἄριστα σὺν ἡγεμόνεσσιν ἕποιτο,*
*μήτε λίην ἀνεθεὶς μήτε βιαζόμενος·*
*τίκτει γὰρ κόρος ὕβριν, ὅταν πολὺς ὄλβος ἕπηται*
*ἀνθρώποις ὁπόσοις μὴ νόος ἄρτιος ἦι.*

1-2 Plut. *Publ.* 25. 6 (*comp. Sol. et Publ.* 2. 6); 3-4 Theogn. 153-4; 3 Clem. *Strom.* 6. 8. 7; cf. Arist. fr. 57, etc.

**7** Plut. *Sol.* 25. 6

*ἔργμασιν ἐν μεγάλοις πᾶσιν ἁδεῖν χαλεπόν.*

**9** Excerpta e Diodoro (9. 20. 2; *Excerpta Hist. iussu Const. Porphyrogeniti confecta*, ed. Boissevain etc., iv. 286)

*ἐκ νεφέλης πέλεται χιόνος μένος ἠδὲ χαλάζης,*
*βροντὴ δ' ἐκ λαμπρῆς γίγνεται ἀστεροπῆς·*
*ἀνδρῶν δ' ἐκ μεγάλων πόλις ὄλλυται, ἐς δὲ μονάρχου*
*δῆμος ἀϊδρίηι δουλοσύνην ἔπεσεν.*

---

**5** 1 κράτος Plut. ἐπαρκεῖν Brunck : -εῖ Plut. : απαρκει Arist. : -εῖν Ziegler 2 απορεξαμενος Arist. pap. 3 οσοιδ pap.
**6** 2 πιεζόμενος Plut. 3 τοι pro γὰρ Thgn., deinde κακῷ pro πολὺς 4 ανθρωποισοποσοισ pap. Arist. : ἀνθρώπῳ καὶ ὅτῳ Thgn.
**9** 1 φέρεται Diog. fort. ἠὲ 2 τ' Diog. 3 δ' om. Diod. 19 τυράννου Diod. 19





*λίην δ' ἐξάραντ' ⟨οὐ⟩ ῥάιδιόν ἐστι κατασχεῖν*
*ὕστερον, ἀλλ' ἤδη χρὴ ⟨καλὰ⟩ πάντα νοεῖν.*

1-4 Diog. Laert. 1. 50; 1-2 Plut. *Sol.* 3. 6; 3-4 Diod. 19. 1. 4.

**10** Diogenes Laertius 1. 49 *ἄξας γὰρ εἰς τὴν ἐκκλησίαν μετὰ δόρατος καὶ ἀσπίδος προεῖπεν αὐτοῖς τινα ἐπίθεσιν τοῦ Πεισιστράτου... καὶ ἡ βουλὴ Πεισιστρατίδαι ὄντες μαίνεσθαι ἔλεγον αὐτόν· ὅθεν εἶπε ταυτί·*

*δείξει δὴ μανίην μὲν ἐμὴν βαιὸς χρόνος ἀστοῖς,*
*δείξει ἀληθείης ἐς μέσον ἐρχομένης.*

**11** Excerptum Diodori (v. ad fr. 9); Diogenes Laertius 1. 51

*εἰ δὲ πεπόνθατε λυγρὰ δι' ὑμετέρην κακότητα,*
*μὴ θεοῖσιν τούτων μοῖραν ἐπαμφέρετε·*
*αὐτοὶ γὰρ τούτους ηὐξήσατε ῥύματα δόντες,*
*καὶ διὰ ταῦτα κακὴν ἔσχετε δουλοσύνην.*
*ὑμέων δ' εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει,*
*σύμπασιν δ' ὑμῖν χαῦνος ἔνεστι νόος·*
*ἐς γὰρ γλῶσσαν ὁρᾶτε καὶ εἰς ἔπη αἱμύλου ἀνδρός,*
*εἰς ἔργον δ' οὐδὲν γιγνόμενον βλέπετε.*

1-4 Plut. *Sol.* 30. 8; 7 + 5 - 6 Plut. ib. 30. 3.

**12** Plut. *Sol.* 3. 6

*ἐξ ἀνέμων δὲ θάλασσα ταράσσεται· ἢν δέ τις αὐτὴν*
*μὴ κινῆι, πάντων ἐστὶ δικαιοτάτη.*

**13** Stob. 3. 9. 23

⊗ *Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,*
*Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένωι·*

---

**9** 5 λείης δ' ἐξεραντα V : corr. Schneidewin οὐ add. L. Dindorf 6 καλὰ supplevi : περὶ Dindorf : τινα Sintenis : τάδε Passow
**11** 1 δεινὰ Diog. 2 τι θεοῖς Diog., v.l. in Plut. ταύτην cod. excerpti (V) μῆνιν Plut. 3 ῥύσια Diog. 4 τοῦτο V 6 χαῦνος Plut. : κοῦφος V Diog. 7 ἔπος αἰόλον V Diog.
**13** cod. S (7–13 etiam MA)

ὄλβόν μοι πρὸς θεῶν μακάρων δότε, καὶ πρὸς ἁπάντων
  ἀνθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθήν·
εἶναι δὲ γλυκὺν ὧδε φίλοις, ἐχθροῖσι δὲ πικρόν,
  τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ δεινὸν ἰδεῖν.
χρήματα δ' ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι
  οὐκ ἐθέλω· πάντως ὕστερον ἦλθε δίκη.
πλοῦτον δ' ὃν μὲν δῶσι θεοί, παραγίγνεται ἀνδρὶ
  ἔμπεδος ἐκ νεάτου πυθμένος ἐς κορυφήν·
ὃν δ' ἄνδρες τιμῶσιν ὑφ' ὕβριος, οὐ κατὰ κόσμον
  ἔρχεται, ἀλλ' ἀδίκοις ἔργμασι πειθόμενος
οὐκ ἐθέλων ἕπεται, ταχέως δ' ἀναμίσγεται ἄτηι·
  ἀρχῆς δ' ἐξ ὀλίγης γίγνεται ὥστε πυρός,
φλαύρη μὲν τὸ πρῶτον, ἀνιηρὴ δὲ τελευτᾶι·
  οὐ γὰρ δὴ⟨ν⟩ θνητοῖς ὕβριος ἔργα πέλει,
ἀλλὰ Ζεὺς πάντων ἐφορᾶι τέλος, ἐξαπίνης δὲ
  ὥστ' ἄνεμος νεφέλας αἶψα διεσκέδασεν
ἠρινός, ὃς πόντου πολυκύμονος ἀτρυγέτοιο
  πυθμένα κινήσας, γῆν κάτα πυροφόρον
δηιώσας καλὰ ἔργα θεῶν ἕδος αἰπὺν ἱκάνει
  οὐρανόν, αἰθρίην δ' αὖτις ἔθηκεν ἰδεῖν,
λάμπει δ' ἠελίοιο μένος κατὰ πίονα γαῖαν
  καλόν, ἀτὰρ νεφέων οὐδ' ἓν ἔτ' ἐστὶν ἰδεῖν.
τοιαύτη Ζηνὸς πέλεται τίσις· οὐδ' ἐφ' ἑκάστωι
  ὥσπερ θνητὸς ἀνὴρ γίγνεται ὀξύχολος,
αἰεὶ δ' οὔ ἑ λέληθε διαμπερές, ὅστις ἀλιτρὸν
  θυμὸν ἔχει, πάντως δ' ἐς τέλος ἐξεφάνη·
ἀλλ' ὁ μὲν αὐτίκ' ἔτεισεν, ὁ δ' ὕστερον· οἳ δὲ φύγωσιν
  αὐτοί, μηδὲ θεῶν μοῖρ' ἐπιοῦσα κίχηι,

**13** 8 fort. πάντως δ'    9 πλοῦτος M²    11 τιμῶσιν codd.: μετίωσιν Ahrens: τέτμωσιν Sitzler    13 ἄτη malunt quidam    14 ἀρχῆς δ' ἐξ ὀλίγης scripsi: ἀρχὴ δ' ἐξ ὀλίγου S: ἀρχὴν δ' ἐξ ὀλίγου W.G. Arnott: ἄτη δ' Schenkl    16 δὴ S: corr. Gesner et Par. 1985    27 οὔτε S: corr. Hermann





ἤλυθε πάντως αὖτις· ἀναίτιοι ἔργα τίνουσιν
  ἢ παῖδες τούτων ἢ γένος ἐξοπίσω.
θνητοὶ δ' ὧδε νοέομεν ὁμῶς ἀγαθός τε κακός τε,
  εὖ ῥεῖν ἣν αὐτὸς δόξαν ἕκαστος ἔχει,
πρίν τι παθεῖν· τότε δ' αὖτις ὀδύρεται· ἄχρι δὲ τούτου
  χάσκοντες κούφαις ἐλπίσι τερπόμεθα.
χὤστις μὲν νούσοισιν ὑπ' ἀργαλέηισι πιεσθῆι,
  ὡς ὑγιὴς ἔσται, τοῦτο κατεφράσατο·
ἄλλος δειλὸς ἐὼν ἀγαθὸς δοκεῖ ἔμμεναι ἀνήρ,
  καὶ καλὸς μορφὴν οὐ χαρίεσσαν ἔχων·
εἰ δέ τις ἀχρήμων, πενίης δέ μιν ἔργα βιᾶται,
  κτήσασθαι πάντως χρήματα πολλὰ δοκεῖ.
σπεύδει δ' ἄλλοθεν ἄλλος· ὁ μὲν κατὰ πόντον ἀλᾶται
  ἐν νηυσὶν χρήιζων οἴκαδε κέρδος ἄγειν
ἰχθυόεντ' ἀνέμοισι φορεόμενος ἀργαλέοισιν,
  φειδωλὴν ψυχῆς οὐδεμίαν θέμενος·
ἄλλος γῆν τέμνων πολυδένδρεον εἰς ἐνιαυτὸν
  λατρεύει, τοῖσιν καμπύλ' ἄροτρα μέλει·
ἄλλος Ἀθηναίης τε καὶ Ἡφαίστου πολυτέχνεω
  ἔργα δαεὶς χειροῖν ξυλλέγεται βίοτον,
ἄλλος Ὀλυμπιάδων Μουσέων πάρα δῶρα διδαχθείς,
  ἱμερτῆς σοφίης μέτρον ἐπιστάμενος·
ἄλλον μάντιν ἔθηκεν ἄναξ ἑκάεργος Ἀπόλλων,
  ἔγνω δ' ἀνδρὶ κακὸν τηλόθεν ἐρχόμενον,
ὧι συνομαρτήσωσι θεοί· τὰ δὲ μόρσιμα πάντως
  οὔτέ τις οἰωνὸς ῥύσεται οὔθ' ἱερά·

**13** 31 αὐτίκ' S: corr. Brunck    ἀναίτιοι nescioquis: ἀναίτια S, cui τ' add. Camerarius, δ' Sylburg    32 ἡγεμόνων ὀπίσω S: corr. Par. 1985 m² et Pierson    34 εὖ ῥεῖν ἣν Büchner, Theiler (εὖ ῥεῖν iam Schneidewin): ἐνδηνην S (ἡ et ἣ m. rec.): εὐθηνεῖν Ahrens    36 τρεφόμεθα S a.c., unde βοσκόμεθα van Leeuwen    42 κτήσεσθαι Sylburg    πάντων S: corr. Gesner    48 μένει S: corr. Gesner    50 ἔργαλα εἰσ S: corr. Par. 1985 m²    53-6 post 62 transp. Edmonds    56 maluissem οἰωνοῖς ... ἱεροῖς

ἄλλοι Παιῶνος πολυφαρμάκου ἔργον ἔχοντες
ἰητροί· καὶ τοῖς οὐδὲν ἔπεστι τέλος·
πολλάκι δ' ἐξ ὀλίγης ὀδύνης μέγα γίγνεται ἄλγος,
κοὐκ ἄν τις λύσαιτ' ἤπια φάρμακα δούς·
τὸν δὲ κακαῖς νούσοισι κυκώμενον ἀργαλέαις τε
ἁψάμενος χειροῖν αἶψα τίθησ' ὑγιῆ.
Μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει ἠδὲ καὶ ἐσθλόν;
δῶρα δ' ἄφυκτα θεῶν γίγνεται ἀθανάτων.
πᾶσι δέ τοι κίνδυνος ἐπ' ἔργμασιν, οὐδέ τις οἶδεν
πῆι μέλλει σχήσειν χρήματος ἀρχομένου·
ἀλλ' ὁ μὲν εὖ ἔρδειν πειρώμενος οὐ προνοήσας
ἐς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν,
τῶι δὲ κακῶς ἔρδοντι θεὸς περὶ πάντα δίδωσιν
συντυχίην ἀγαθήν, ἔκλυσιν ἀφροσύνης.
πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται·
οἳ γὰρ νῦν ἡμέων πλεῖστον ἔχουσι βίον,
διπλάσιον σπεύδουσι· τίς ἂν κορέσειεν ἅπαντας;
κέρδεά τοι θνητοῖς ὤπασαν ἀθάνατοι,
ἄτη δ' ἐξ αὐτῶν ἀναφαίνεται, ἣν ὁπότε Ζεὺς
πέμψηι τεισομένην, ἄλλοτε ἄλλος ἔχει. ⊗

1-2=Crates fr. 1. 1-2 1 Clem. *Strom.* 6. 11. 1 5-7 resp. Crates fr. 1. 5-6 7-8 Plut. *Sol.* 2. 4, *Publ.* 24. 7 (*comp. Sol. et Publ.* 1. 7) 65-70 Theogn. 585-90 71-6 Theogn. 227-32 71 Arist. *Pol. A* 8 p 1256b31; Plut. *de cupid. div.* 4 p. 524e; Basil. *ad adulescentes* 9. 103 p. 58 Boulenger.

**13** 60 δούς recc. : τούσ S 61 κακῶς ... ἀργαλέῃσιν Wilamowitz κυκώμενον Gesner : κακώμενον (sic) S 65 πᾶσίν τοι Thgn. 66 πῆ Thgn.A: ποῖ ο Stob. : ἧ S σχήσειν μέλλει πρήγματος Thgn. ἀρχόμενος Gomperz 67 εὐδοκιμεῖν Thgn. 69 λ supra κακῶς scr. S m. rec. : καλῶς ποιεῦντι Thgn. (καλὸν ποιοῦντι Stob.) καλὰ πάντα Stob. in Thgn. 70 ἀγαθῶν idem 71 ἀνδράσι κεῖται S Arist. Basil. : ἀνθρώποισι Thgn. Plut. 73 διπλασίως S 74 χρήματά τοι θνητοῖς γίνεται ἀφροσύνη Thgn. 75 αὐτῆς Thgn. ὁπόταν S 76 τισομένην S : τειρομένοις Thgn. ἄλλοτέ τ' S Thgn.AO





**14** Stob. 4. 34. 23

οὐδὲ μάκαρ οὐδεὶς πέλεται βροτός, ἀλλὰ πονηροὶ
πάντες ὅσους θνητοὺς ἠέλιος καθορᾶι.

**15** Plut. *Sol.* 3. 2; Theogn. 315-18

πολλοὶ γὰρ πλουτέουσι κακοί, ἀγαθοὶ δὲ πένονται·
ἀλλ' ἡμεῖς τούτοις οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί,
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

2-4 Plut. *de prof. virt.* 6 p. 78c, *de tranqu. animi* 13 p. 472d; Basil. *ad adulescentes* 5. 45 p. 48 Boulenger; 2-3 (—πλοῦτον) Plut. *de inim. util.* 11 p. 92e.

**16** Clem. *Strom.* 5. 81. 1

γνωμοσύνης δ' ἀφανὲς χαλεπώτατόν ἐστι νοῆσαι
μέτρον, ὃ δὴ πάντων πείρατα μοῦνον ἔχει.

**17** Clem. *Strom.* 5. 129. 5

πάντηι δ' ἀθανάτων ἀφανὴς νόος ἀνθρώποισιν.

**18** Ps.-Plato, *Amat.* 133c; Plut. *Sol.* 2. 2, 31. 6; etc.

γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος.

**19** Herodotus 5. 113. 2 καὶ ὁ Σολίων βασιλεὺς Ἀριστόκυπρος ὁ Φιλοκύπρου, Φιλοκύπρου δὲ τούτου τὸν Σόλων ὁ Ἀθηναῖος ἀπικόμενος ἐς Κύπρον ἐν ἔπεσιν αἴνεσε τυράννων μάλιστα.

Plut. *Sol.* 26. 2-4 ἔπειτα πλεύσας εἰς Κύπρον ἠγαπήθη δια-

**15** 1 τοι Thgn. 2 τούτοις Thgn. : αὐτοῖς Plut. quater (γ' αὐτοῖς 78c v.l.), Basil. 3 αἰεὶ Thgn. Basil. et Plut. *Sol.* cod. C: ἐστιν Plut. alias ἄλλοτέ τ' v.l. in Plut. *Sol.*, Thgn.A
**17** πάντη cod. Clem. : πάμπαν Euseb. *praep. ev.* 13. 13. 57

**33a** Pergit Plut. οὐ μὴν ἀπωσάμενός γε τὴν τυραννίδα τὸν πρᾳότατον ἐχρήσατο τρόπον τοῖς πράγμασιν, οὐδὲ μαλακῶς οὐδ' ὑπείκων τοῖς δυναμένοις οὐδὲ πρὸς ἡδονὴν τῶν ἑλομένων ἔθετο τοὺς νόμους, ἀλλ' ᾗ μὲν ἄριστον ἦν, οὐκ ἐπήγαγεν ἰατρείαν οὐδὲ καινοτομίαν, φοβηθεὶς μὴ συγχέας παντάπασιν καὶ ταράξας τὴν πόλιν ἀσθενέστερος γένηται τοῦ καταστῆσαι πάλιν καὶ διαρμόσασθαι πρὸς τὸ ἄριστον.

**34** Arist. *Ath. Pol.* 12. 3

οἱ δ' ἐφ' ἁρπαγῇσιν ἦλθον· ἐλπίδ' εἶχον ἀφνεήν,
κἀδόκ[ε]ον ἕκαστος αὐτῶν ὄλβον εὑρήσειν πολύν,
καί με κωτίλλοντα λείως τραχὺν ἐκφανεῖν νόον.
χαῦνα μὲν τότ' ἐφράσαντο, νῦν δέ μοι χολούμενοι
λοξὸν ὀφθαλμοῖς ὁρῶσι πάντες ὥστε δήϊον.
οὐ χρεών· ἃ μὲν γὰρ εἶπα, σὺν θεοῖσιν ἤνυσα,
ἄ[λλ]α δ' οὐ μάτην ἔερδον, οὐδέ μοι τυραννίδος
ἁνδάνει βίηι τι[..]. ε[ι]ν, οὐδὲ πιεί[ρ]ης χθονὸς
πατρίδος κακοῖσιν ἐσθλοὺς ἰσομοιρίην ἔχειν.

4-5 Plut. *Sol.* 16. 3 6-7 Aristides *or.* 28. 137, ii. 184. 29 Keil ὁ δὲ δὴ Σόλων καὶ βιβλίον ἐξεπίτηδες πεποίηκεν, ὥσπερ ἡμεῖς εἰς τὴν 'Αθηνᾶν, οὕτως ἐκεῖνος εἰς αὑτὸν καὶ τὴν ἑαυτοῦ πολιτείαν, ἐν ᾧ ἄλλα τε δὴ λέγει καὶ ταῦτα· "ἃ μὲν — ἔρδον".

**33a** versus subesse videntur (Bekker); e.g. *φοβεόμενος | μή ποτ', εἰ συνέχεα πάντῃ κἀτάραξα τὴν πόλιν, | ἀσθενέστερος γενοίμην τοῦ καταστῆσαι πάλιν*
**34** 1 οἱ δ'... ἦλθον, edd. αρπαγαισιν pap.: ἁρπαγῇ συνῆλθον Richards συνῆλθον κἀλπίδ' et 3 νόον, Ziegler 3 κἀμὲ Kaibel–Wil. 6 ειπα pap. Arist.: ἄελπτα codd. Aristid. 7 ἅμα δ' οὐ μάτην ἔρδον codd. Aristid. vix μὰ τὴν vel Γῆν 8 ἥνδανεν Richards ]. : hasta proclinata, potes ζ inter alia: [ῥέζ]ειν Kenyon: [κιν]εῖν Bury





## 36-40. TRIMETRI

**36** Arist. *Ath. Pol.* 12. 4

ἐγὼ δὲ τῶν μὲν οὕνεκα ξυνήγαγον
δῆμον, τί τούτων πρὶν τυχεῖν ἐπαυσάμην;
συμμαρτυροίη ταῦτ' ἂν ἐν δίκηι Χρόνου
μήτηρ μεγίστη δαιμόνων 'Ολυμπίων
ἄριστα, Γῆ μέλαινα, τῆς ἐγώ ποτε
ὅρους ἀνεῖλον πολλαχῆι πεπηγότας,
πρόσθεν δὲ δουλεύουσα, νῦν ἐλευθέρη.
πολλοὺς δ' 'Αθήνας πατρίδ' ἐς θεόκτιτον
ἀνήγαγον πραθέντας, ἄλλον ἐκδίκως,
ἄλλον δικαίως, τοὺς δ' ἀναγκαίης ὑπὸ
χρειοῦς φυγόντας, γλῶσσαν οὐκέτ' 'Αττικὴν
ἱέντας, ὡς δὴ πολλαχῆι πλανωμένους·
τοὺς δ' ἐνθάδ' αὐτοῦ δουλίην ἀεικέα
ἔχοντας, ἤθη δεσποτέων τρομεομένους,
ἐλευθέρους ἔθηκα. ταῦτα μὲν κράτει
ὁμοῦ βίην τε καὶ δίκην ξυναρμόσας
ἔρεξα, καὶ διῆλθον ὡς ὑπεσχόμην·
θεσμοὺς δ' ὁμοίως τῶι κακῶι τε κἀγαθῶι
εὐθεῖαν εἰς ἕκαστον ἁρμόσας δίκην
ἔγραψα. κέντρον δ' ἄλλος ὡς ἐγὼ λαβών,
κακοφραδής τε καὶ φιλοκτήμων ἀνήρ,
οὐκ ἂν κατέσχε δῆμον· εἰ γὰρ ἤθελον
ἃ τοῖς ἐναντίοισιν ἥνδανεν τότε,

**36** (Arist.) P. Londiniensi (L) hic accedit P. Berol. (B) 5 fort. τότε 6 πολλαχοῦ Plut. v.l. 7 γε et νῦν δ' Stadtmüller 9 ἀπήγαγον Plut. codd.: deest L 11 χρειους L: χρεων B: χρησμὸν (λέγοντασ) Aristid.: χρεοῦς Wilamowitz 12 δὴ scripsi: ἂν LB Plut. Aristid. 13 δουλείης Aristid. 14 ἤδη codd. Aristid. 15 κρατη B, Aristid. v.l.: κρατεειν L (κράτει νόμου voluit) 16 δ[ε B ξυν- Aristid. v.l.: συν- cett. 18 θε[σ]μον B? δ' B?, Aristid.: τε sscr. ·θ· L ὁμοίους Aristid. v.l. καλῷ B 23 αυτοισ L

αὖτις δ' ἃ τοῖσιν οὔτεροι φρασαίατο,
πολλῶν ἂν ἀνδρῶν ἥδ' ἐχηρώθη πόλις.
τῶν οὕνεκ' ἀλκὴν πάντοθεν ποιεύμενος
ὡς ἐν κυσὶν πολλῇσιν ἐστράφην λύκος.

3-27 Aristides *or.* 28. 138-40 5-15 Plut. *Sol.* 15.5-6 16 ib. 15. 1.

**37** Pergit Aristoteles

δήμωι μὲν εἰ χρὴ διαφάδην ὀνειδίσαι,
ἃ νῦν ἔχουσιν οὔποτ' ὀφθαλμοῖσιν ἂν
εὕδοντες εἶδον...
ὅσοι δὲ μείζους καὶ βίην ἀμείνονες,
αἰνοῖεν ἄν με καὶ φίλον ποιοίατο.
εἰ γάρ τις ἄλλος, φησί, ταύτης τῆς τιμῆς ἔτυχεν,
οὐκ ἂν κατέσχε δῆμον, οὐδ' ἐπαύσατο
πρὶν ἀνταράξας πῖαρ ἐξεῖλεν γάλα·
ἐγὼ δὲ τούτων ὥσπερ ἐν μεταιχμίωι
ὅρος κατέστην.

6-8 Plut. *Sol.* 16. 4.

**38** Ath. 645f

πίνουσι· καὶ τρώγουσιν οἱ μὲν ἴτρια
οἱ δ' ἄρτον αὐτῶν, οἱ δὲ συμμεμιγμένους
γούρους φακοῖσι· κεῖθι δ' οὔτε πεμμάτων
ἄπεστιν οὐδ' ἕν, ἅσσ' ἐν ἀνθρώποισι γῆ
φέρει μέλαινα, πάντα δ' ἀφθόνως πάρα.

**36** 24 ουτεροι φρασαιατο L : deest B : ἀτέροισ δρᾶσαι διὰ fere Aristid. 25 ἐχειρώθη B Aristid. 26–7 deest B 26 αλκην... ποιουμενοσ L : ἀρχὴν... κυκεύμενος Aristid. (κυκλεύμενος Lobeck) 27 ετραφην L

**37** pap. L sola adest 1 διαφραδην L : corr. Kondos 5 fort. σαίνοιεν 6–7 cf. 36. 20–2 7 οὔτ'... οὔτ' Plut. 8 αντα-ραξασ L : ἢ ταράξας Kaibel-Wil. πυαρ L ἐξέλῃ Plut. 10 δορὸς Jaeger

**38** 3 γουρους Ath. disertim : fort. πυροὺς possis οὐδὲ





**39** Pollux 10. 103

σπεύδουσι δ' οἱ μὲν ἴγδιν, οἱ δὲ σίλφιον,
οἱ δ' ὄξος.

**40** Phryn. *Ecl.* 375 Fischer

†κόκκωνας δὲ† ἄλλος, †ἕτερος δὲ σήσαμα.

**43** Choric. *or.* 2. 5, p. 29. 10 Foerster-Richtsteig γῆ ... ὑπτία τε πᾶσα καθειμένη καὶ τὸ τοῦ Σόλωνος

λιπαρὴ κουροτρόφος.

## SOPHOCLES (I)

Atheniensis
cita sis 'fr. eleg.' ca. 497-406

**1** Hephaest. *Ench.* 1. 5, de correptione interna ἐν δὲ τοῖς ἔπεσι σπανιώτερον, οὕτως ὥστε τὸ τοῦ Ἀρχελάου ὄνομα Σοφοκλῆς ἐν ταῖς ἐλεγείαις οὐκ ᾤετο ἐγχωρεῖν οὔτε εἰς ἔπος οὔτε εἰς ἐλεγεῖον. φησὶ γοῦν·

Ἀρχέλεως· ἦν γὰρ σύμμετρον ὧδε λέγειν.

**2** Harpocr. p. 60. 16 Dindorf "ἀρχὴ ἄνδρα δείκνυσι"· Δημοσθένης προοιμίοις δημηγορικοῖς (48. 2). Σοφοκλῆς μὲν οὖν ἐν ταῖς ἐλεγείαις Σόλωνός φησιν αὐτὸ εἶναι ἀπόφθεγμα, Θεόφραστος δὲ ἐν τῷ περὶ παροιμιῶν (deest ap. Wimmer) καὶ Ἀριστοτέλης (*Eth. Nic.* 5. 3 p. 1130a1) Βίαντος. Cf. Paroem. Gr. i. 212. 7 cum adn., ii. 101. 2 cum adn., 310. 8.

**39** 1 σπεύδουσι Casaubon : codd. σπεῦ, σπευσίδα, πευσῖ, πευσιδ', λιτί(λιτε)βον.

**40** κόκκωνας ἄλλος vel κόκκωνα δ' ἄλλος Lobeck οὔτερος δὲ Kalinka (ἅτερος Lobeck) : ἕτερος αὖτε Hiller

**Sophocles** 2 Σοφοκλῆς ⟨Ἀντιγόνῃ...⟩ Leutsch ut sit alius elegiacus; cf. Soph. *Ant.* 175 sqq., ubi scholiasta hoc proverbium invenit

θεῶν εἰρημένα . . . (20) ἐποίησε δὲ καὶ Κολοφῶνος κτίσιν καὶ τὸν εἰς Ἐλέαν τῆς Ἰταλίας ἀποικισμόν, ἔπη δισχίλια.

## ELEGI

**B1** Ath. 462c

νῦν γὰρ δὴ ζάπεδον καθαρὸν καὶ χεῖρες ἁπάντων
  καὶ κύλικες· πλεκτοὺς δ' ἀμφιτιθεῖ στεφάνους,
ἄλλος δ' εὐῶδες μύρον ἐν φιάληι παρατείνει·
  κρητὴρ δ' ἕστηκεν μεστὸς ἐυφροσύνης·
ἄλλος δ' οἶνος ἑτοῖμος, ὃς οὔποτέ φησι προδώσειν,
  μείλιχος ἐν κεράμοις, ἄνθεος ὀζόμενος·
ἐν δὲ μέσοις ἁγνὴν ὀδμὴν λιβανωτὸς ἵησιν,
  ψυχρὸν δ' ἐστὶν ὕδωρ καὶ γλυκὺ καὶ καθαρόν·
παρκέαται δ' ἄρτοι ξανθοὶ γεραρή τε τράπεζα
  τυροῦ καὶ μέλιτος πίονος ἀχθομένη·
βωμὸς δ' ἄνθεσιν ἀν τὸ μέσον πάντηι πεπύκασται,
  μολπὴ δ' ἀμφὶς ἔχει δώματα καὶ θαλίη.
χρὴ δὲ πρῶτον μὲν θεὸν ὑμνεῖν εὔφρονας ἄνδρας
  εὐφήμοις μύθοις καὶ καθαροῖσι λόγοις,
σπείσαντάς τε καὶ εὐξαμένους τὰ δίκαια δύνασθαι
  πρήσσειν· ταῦτα γὰρ ὦν ἐστι προχειρότερον,
οὐχ ὕβρεις· πίνειν δ' ὁπόσον κεν ἔχων ἀφίκοιο
  οἴκαδ' ἄνευ προπόλου μὴ πάνυ γηραλέος.
ἀνδρῶν δ' αἰνεῖν τοῦτον ὃς ἐσθλὰ πιὼν ἀναφαίνει,
  ὥς ἦι μνημοσύνη καὶ τόνος ἀμφ' ἀρετῆς,

**Xenophanes 1** 2 ἀμφιτιθεῖ Dindorf : -εὶς A  4 δ' om. epit., Eust.  5 ἄλλος δ' οἰνός ἐστιν codd., ἐστιν om. Eust. : οἶνος δ' ἐστὶν Hermann  6 ὀσδ- codd., Eust. : corr. Hermann  7 ὀσμὴν epit., Eust.  9 παρκέαται Wackernagel : πάρκεινται codd. : possis et πάρκειται  13 δὴ Bergk  ὑμνὲν A : ὕμνεν epit. : corr. C  15 δὲ Bergk  17 ὕβρις Musurus  vix κ' ἐνέχων  ἀφίκηαι Wilamowitz : fort. -ηται vel -οιτο  19 ἀναφαίνῃ Hermann  20 τόνος Koraes : τὸν ὃς codd. : πόνος Schneidewin : νόος Hermann  fort. ἀρετῇ (Wilamowitz) vel ἀρετήν





οὔ τι μάχας διέπειν Τιτήνων οὐδὲ Γιγάντων
  οὐδὲ ⟨    ⟩ Κενταύρων, πλάσμα⟨τα⟩ τῶν προτέρων,
ἢ στάσιας σφεδανάς· τοῖς οὐδὲν χρηστὸν ἔνεστιν·
  θεῶν ⟨δὲ⟩ προμηθείην αἰὲν ἔχειν ἀγαθήν.

4 - 22 habet epitome, unde 4 - 7 Eust. in Hom. p. 1633. 3.

**2** Ath. 413f

ἀλλ' εἰ μὲν ταχυτῆτι ποδῶν νίκην τις ἄροιτο
  ἢ πενταθλεύων, ἔνθα Διὸς τέμενος
πὰρ Πίσαο ῥοῆις ἐν Ὀλυμπίηι, εἴτε παλαίων
  ἢ καὶ πυκτοσύνην ἀλγινόεσσαν ἔχων
εἴτε τὸ δεινὸν ἄεθλον ὃ παγκράτιον καλέουσιν,
  ἀστοῖσίν κ' εἴη κυδρότερος προσορᾶν,
καί κε προεδρίην φανερὴν ἐν ἀγῶσιν ἄροιτο,
  καί κεν σῖτ' εἴη δημοσίων κτεάνων
ἐκ πόλεως, καὶ δῶρον ὅ οἱ κειμήλιον εἴη —
  εἴτε καὶ ἵπποισιν· ταῦτά κε πάντα λάχοι,
οὐκ ἐὼν ἄξιος ὥσπερ ἐγώ· ῥώμης γὰρ ἀμείνων
  ἀνδρῶν ἠδ' ἵππων ἡμετέρη σοφίη.
ἀλλ' εἰκῆι μάλα τοῦτο νομίζεται, οὐδὲ δίκαιον
  προκρίνειν ῥώμην τῆς ἀγαθῆς σοφίης·
οὔτε γὰρ εἰ πύκτης ἀγαθὸς λαοῖσι μετείη

1 21 οὐδὲ malim  διέπει epit.: -ων Fränkel  22 τι add. Meineke, αὖ Bergk, τὰ Hermann, τε Casaubon  πλασμάτων codd. : corr. Schweighäuser  23 σφεδανὰς Osann : φενδόνας A : φλεδόνας Scaliger  ταῖς Mullach (noluerat Schweighäuser) : τοῖς δ' Ludwich  24 δὲ add. Casaubon  ἀγαθόν Francke
2 3 ῥοὰς Schneidewin  5 εἴτε τὸ Wakefield : εἰτέτι cod.  6 προσεραν cod. : corr. Jacobs  8 σίτησιν Kaibel  9 (et 22) πόλιος Schneidewin  10 κ' εἰπάντα cod. : corr. Schweighäuser (χ' ἅπαντα Casaubon)  13 fort. ταῦτα  15 λαοῖσιν ἔτ' cod. : corr. Stephanus

οὔτ' εἰ πενταθλεῖν οὔτε παλαισμοσύνην,
οὐδὲ μὲν εἰ ταχυτῆτι ποδῶν, τόπερ ἐστὶ πρότιμον,
ῥώμης ὅσσ' ἀνδρῶν ἔργ' ἐν ἀγῶνι πέλει,
τούνεκεν ἂν δὴ μᾶλλον ἐν εὐνομίηι πόλις εἴη·
σμικρὸν δ' ἄν τι πόλει χάρμα γένοιτ' ἐπὶ τῶι,
εἴ τις ἀεθλεύων νικῶι Πίσαο παρ' ὄχθας·
οὐ γὰρ πιαίνει ταῦτα μυχοὺς πόλεως.

πολλὰ δὲ καὶ ἄλλα ὁ Ξενοφάνης κατὰ τὴν ἑαυτοῦ σοφίαν ἐπαγωνίζεται, διαβάλλων ὡς ἄχρηστον καὶ ἀλυσιτελὲς τὸ τῆς ἀθλήσεως εἶδος.

**3** Ath. 526a Κολοφώνιοι δέ, ὥς φησι Φύλαρχος (81 F 66), τὴν ἀρχὴν ὄντες σκληροὶ ἐν ταῖς ἀγωγαῖς, ἐπεὶ εἰς τρυφὴν ἐξώκειλαν πρὸς Λυδοὺς φιλίαν καὶ συμμαχίαν ποιησάμενοι, προήεσαν διησκημένοι τὰς κόμας χρυσῷ κόσμῳ, ὡς καὶ Ξενοφάνης φησίν·

ἁβροσύνας δὲ μαθόντες ἀνωφελέας παρὰ Λυδῶν,
ὄφρα τυραννίης ἦσαν ἄνευ στυγερῆς,
ἤιεσαν εἰς ἀγορὴν παναλουργέα φάρε' ἔχοντες,
οὐ μείους ὥσπερ χείλιοι ὡς ἐπίπαν,
αὐχαλέοι, χαίτηισιν †ἀγαλλομεν εὐπρεπέεσσιν,
ἀσκητοῖς ὀδμὴν χρίμασι δευόμενοι.

**4** Pollux 9. 83 τάχα δ' ἄν τις φιλότιμον εἶναι νομίζοι καὶ τὸν ἐπὶ τῷ νομίσματι λόγον ἐπιζητεῖν, εἴτε Φείδων πρῶτος ὁ Ἀργεῖος ἔκοψε νόμισμα . . . εἴτε Λυδοί, καθά φησι Ξενοφάνης, εἴτε κτλ.

---

**3** 1 ἀφροσύνας cod. : corr. J. G. Schneider  2 ησσα | νευ cod. : corr. Dindorf  3 ἤϊσαν Meineke  4 χείλιοι Hiller : χίλιοι cod.  ὡς Schweighäuser : εἰς cod.  5 χαίτης ἐν ἀγάλμασιν Hermann, χαίτῃσιν ἀγάλμασί τ' Bergk, ἀγαλλόμενοι χρυσέῃσιν Meineke  6 χρήμασι cod. : corr. Musurus





**5** Ath. (epit) 11. 18 p. 782a

οὐδέ κεν ἐν κύλικι πρότερον κεράσειέ τις οἶνον
ἐγχέας, ἀλλ' ὕδωρ καὶ καθύπερθε μέθυ.

**6** Ath. 368e

πέμψας γὰρ κωλῆν ἐρίφου σκέλος ἤραο πῖον
ταύρου λαρινοῦ, τίμιον ἀνδρὶ λαχεῖν
τοῦ κλέος Ἑλλάδα πᾶσαν ἀφίξεται, οὐδ' ἀπολήξει,
ἔστ' ἂν ἀοιδάων ἦι γένος Ἑλλαδικόν.

**7** Diogenes Laertius 8. 36 de Pythagora περὶ δὲ τοῦ ἄλλοτε ἄλλον αὐτὸν γεγενῆσθαι Ξενοφάνης ἐν ἐλεγείᾳ προσμαρτυρεῖ ἧς ἀρχή·

⊗ νῦν αὖτ' ἄλλον ἔπειμι λόγον, δείξω δὲ κέλευθον.

**7a** ὃ δὲ περὶ αὐτοῦ φησιν οὕτως ἔχει·

καί ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα
φασὶν ἐποικτῖραι καὶ τόδε φάσθαι ἔπος·
"παῦσαι, μηδὲ ῥάπιζ', ἐπεὶ ἦ φίλου ἀνέρος ἐστὶν
ψυχή, τὴν ἔγνων φθεγξαμένης ἀΐων".

**8** Diogenes Laertius 9. 19

ἤδη δ' ἑπτά τ' ἔασι καὶ ἑξήκοντ' ἐνιαυτοὶ
βληστρίζοντες ἐμὴν φροντίδ' ἀν' Ἑλλάδα γῆν·
ἐκ γενετῆς δὲ τότ' ἦσαν ἐείκοσι πέντε τε πρὸς τοῖς,
εἴπερ ἐγὼ περὶ τῶνδ' οἶδα λέγειν ἐτύμως.

Hinc Arsenius sive Apostolius, Paroem. Gr. ii. 442. 15.

---

**5** 2 ἐγχέας Casaubon : ἐγχεύας codd. : χεύας Schweighäuser
**6** 3 ἐφίξεται Karsten  4 Ἑλλαδικῶν C p.c.
**7** ξενοκράτης cod. unus  νῦν οὖν τ' codd. : corr. Stephanus
**7a** 4 fort. τὴν δ'
**8** 4 τῶν Ars.

## 263 (3 D.)

[282] οἳ κ]αὶ Δαρδανίδα Πριάμοιο μέ- ἀντ.
γ' ἄσ]τυ περικλεὲς ὄλβιον ἠνάρον
Ἄργ]οθεν ὀρνυμένοι
4 Ζη]νὸς μεγάλοιο βουλαῖς
ξα]νθᾶς Ἑλένας περὶ εἴδει ἐπωιδ.
δῆ]ριν πολύυμνον ἔχ[ο]ντες
πό]λεμον κατὰ δακρ[υό]εντα,
Πέρ]γαμον δ' ἀνέ[β]α ταλαπείριο[ν ἄ]τα
9 χρυ]σοέθειραν δ[ι]ὰ Κύπριδα.
νῦ]ν δέ μοι οὔτε ξειναπάταν Π[άρι]ν στρ.
..] ἐπιθύμιον οὔτε τανί[σφ]υρ[ον
ὑμ]νῆν Κασσάνδραν
13 Πρι]άμοιό τε παῖδας ἄλλου[ς
Τρο]ίας θ' ὑψιπύλοιο ἁλώσι[μο]ν ἀντ.
ἆμ]αρ ἀνώνυμον· οὐδεπ[
ἡρ]ώων ἀρετὰν
17 ὑπ]εράφανον οὕς τε κοίλα[ι
νᾶες] πολυγόμφοι ἐλεύσα[ν ἐπωιδ.
Τροί]αι κακόν, ἥρωας ἐσθ[λούς·
τῶν] μὲν κρείων Ἀγαμέ[μνων
ἆ]ρχε Πλεισθ[ενί]δας βασιλ[εὺ]ς ἀγὸς ἀνδρῶν
22 Ἀτρέος ἐσ[θλοῦ] πάις ἐκ π[ατρό]ς·
καὶ τὰ μὲ[ν ἂν] Μοῖσαι σεσοφ[ισμ]έναι στρ.
εὖ Ἑλικωνίδ[ες] ἐμβαίεν λογ[

P.Oxy. 1790+2081 (*f*)

11 ἦν] suppl. e.p., ἧς] Wilamowitz, ἔστ'] Maas 15 ἐπ[ανέρχομαι suppl. e.p., ἐπ[ελεύσομαι Wilamowitz





θνατὸς δ' οὔ κ[ε]ν ἀνὴρ
26 διερὸ[ς] τὰ ἕκαστα εἴποι
ναῶν ὡ[ς Μεν]έλαος ἀπ' Αὐλίδος ἀντ.
Αἰγαῖον δ[ιὰ πό]ντον ἀπ' Ἄργεος
ἠλύθο[ν .....]ν
30 ἱπποτρόφο[ν ...]ε φῶτες
χ]αλκάσπ[ιδες υἷ]ες Ἀχα[ι]ῶν ἐπωιδ.
τ]ῶν μὲν πρ[οφ]ερέστατος α[ἰ]χμᾶι
...]. πόδ[ας ὠ]κὺς Ἀχιλλεὺς
καὶ μέ[γας Τ[ελαμ]ώνιος ἄλκι[μος Αἴας
35 ......]. ατ[.......]γυρος.
...............]ος ἀπ' Ἄργεος στρ.
...............]ς ἐς Ἴλιον
...............]
39 ...............].[.].
...............]α χρυσεόστροφ[ος ἀντ.
Ὕλλις ἐγήνατο, τῶι δ' [ἄ]ρα Τρωίλον
ὡσεὶ χρυσὸν ὀρει-
43 χάλκωι τρὶς ἄπεφθο[ν] ἤδη
Τρῶες Δ[α]ναοί τ' ἐρό[ε]σσαν ἐπωιδ.
μορφὰν μάλ' ἐίσκον ὅμοιον.
τοῖς μὲν πέδα κάλλεος αἰὲν
καὶ σύ, Πολύκρατες, κλέος ἄφθιτον ἑξεῖς
48 ὡς κατ' ἀοιδὰν καὶ ἐμὸν κλέος.

25 vel οὐκ [ἄ]ν 26 διερο[......]τα εκαστα P.Oxy 29 ἐς Τροΐα]ν suppl. e.p. 30 ὡς δ]ὲ suppl. e.p., οἵ τ]ε Wilamowitz 36 Τυδέος υἱ]ὸς suppl. Lobel 40 Zeuxippi nomen in lacuna supplendum esse vidit Barron *CR* 1961. 185 seqq. 47 Πουλυ- coni. e.p. 48 carminis finem notat coronis

## V (460 vel 456?)

## ΨΑΥΜΙΔΙ ΚΑΜΑΡΙΝΑΙΩΙ ΑΠΗΝΗΙ

metrum: glyc., iambi. *Α′–Γ′*

*ΣΤΡ*

1 ⏑⏑⏑⏑–⏑⏑⏑– ⏑– –⏑–| *gl^c cr* |
2 ⏑⏑⏑⏑⏑– ⏑⏑– ⏑⏑– –⏑–⏑––|| *(gl^d) ith* ||
3 ⏑ ⏑–⏑⏑– ⏑––⏑– –⏑–⏑––||| *^gl cr ith* |||

*ΕΠ*

1 ––– ⏑⏑– ⏑⏑– ⏑⏑– ⏑|–⏑–⏑––|| *(gl^d) ia ba* ||
2 –––|⏑⏑– ⏑⏑– ⏑⏑–
–⏑––⏑– –⏑–⏑––||| *(gl^d) 3 cr ba* |||

Α′ Ὑψηλᾶν ἀρετᾶν καὶ στεφάνων ἄωτον γλυκύν
τῶν Οὐλυμπίᾳ, Ὠκεανοῦ θύγατερ, καρδίᾳ γελανεῖ
ἀκαμαντόποδός τ᾽ ἀπήνας δέκευ Ψαύμιός τε δῶρα·
ὃς τὰν σὰν πόλιν αὔξων, Καμάρινα, λαοτρόφον,
5 βωμοὺς ἓξ διδύμους ἐγέραρεν ἑορταῖς θεῶν μεγίσταις
ὑπὸ βουθυσίαις ἀέθλων τε πεμπαμέροις ἁμίλλαις,
ἵπποις ἡμιόνοις τε μοναμπυκίᾳ τε. τὶν δὲ κῦδος ἁβρόν
νικάσας ἀνέθηκε, καὶ ὃν πατέρ᾽ Ἄ-
κρων᾽ ἐκάρυξε καὶ τὰν νέοικον ἕδραν.

Β′ ἵκων δ᾽ Οἰνομάου καὶ Πέλοπος παρ᾽ εὐηράτων
10 σταθμῶν, ὦ πολιάοχε Παλλάς, ἀείδει μὲν ἄλσος ἁγνόν
τὸ τεόν ποταμόν τε Ὤανον ἐγχωρίαν τε λίμναν
καὶ σεμνοὺς ὀχετούς, Ἵππαρις οἷσιν ἄρδει στρατόν,
κολλᾷ τε σταδίων θαλάμων ταχέως ὑψίγυιον ἄλσος,
ὑπ᾽ ἀμαχανίας ἄγων ἐς φάος τόνδε δᾶμον ἀστῶν·

*Αὕτη ἡ ᾠδὴ ἐν μὲν τοῖς ἐδαφίοις οὐκ ἦν, ἐν δὲ τοῖς Διδύμου ὑπομνήμασιν ἐλέγετο Πινδάρου* schol. || **13** Liban. 1, 530, 11 Foerst.

A, CNØ = ζ, (B)ELGH = v, ζ + v = α || **4** *καμαρίναν*: Mosch. || **5** *ἐγέραρεν* CN^b Ø, *ἐγέραιρεν* A, *γέραρεν* N^a v || **6** *πεμ*⌊*πα*⌊*μέροις* Π^39, Tricl., *πεμπταμέροις* A α, *πενταμέτροις* A^1 || **9** *ἥκων* A | *εὐηράτων* Π^39 A v, *εὐηλάτων* ζ || **11** *ὤανον* A^ac, *ὄανον* A^pc α (deest B, sed cf. Σ𝔈 ad v. 20 et 25), *ὄανιν* ζ || **14** *ἀπ᾽* byz., sed cf. Ol. 6, 43 et Nem. 1, 35 (Schadew.)





15 αἰεὶ δ᾽ ἀμφ᾽ ἀρεταῖσι πόνος δαπάνα τε μάρναται πρὸς ἔργον
κινδύνῳ κεκαλυμμένον· εὖ δὲ τυχόν-
τες σοφοὶ καὶ πολίταις ἔδοξαν ἔμμεν.

Γ′ Σωτὴρ ὑψινεφὲς Ζεῦ, Κρόνιόν τε ναίων λόφον
τιμῶν τ᾽ Ἀλφεὸν εὐρὺ ῥέοντα Ἰδαῖόν τε σεμνὸν ἄντρον,
ἱκέτας σέθεν ἔρχομαι Λυδίοις ἀπύων ἐν αὐλοῖς,
20 αἰτήσων πόλιν εὐανορίαισι τάνδε κλυταῖς
δαιδάλλειν, σέ τ᾽, Ὀλυμπιόνικε, Ποσειδανίοισιν ἵπποις
ἐπιτερπόμενον φέρειν γῆρας εὔθυμον ἐς τελευτάν
υἱῶν, Ψαῦμι, παρισταμένων. ὑγίεντα δ᾽ εἴ τις ὄλβον ἄρδει,
ἐξαρκέων κτεάτεσσι καὶ εὐλογίαν
προστιθείς, μὴ ματεύσῃ θεὸς γενέσθαι.

## VI (468)

## ΑΓΗΣΙΑΙ ΣΥΡΑΚΟΥΣΙΩΙ ΑΠΗΝΗΙ

metrum: dactyloepitr. *Α′–Ε′*

*ΣΤΡ* –E–D||²D–d¹||³D–e–||⁴E–D–||
⁵–e–D⏑–||⁶⏑––E–D–||⁷D–e^{–35.56}–E–|||

*ΕΠ* D–e–D||²E–d¹|d²d²–d¹||³d¹|–d¹–E||
⁴E|^{18}D||⁵D^{–61}–D|⁶D–D||⁷ee–E–|||

Α′ Χρυσέας ὑποστάσαντες εὐ-
τειχεῖ προθύρῳ θαλάμου
κίονας ὡς ὅτε θαητὸν μέγαρον
³ πάξομεν· ἀρχομένου δ᾽ ἔργου πρόσωπον

**15** sq. schol. Pind. I. 4, 52a || **23** Herodian. 1, 239, 24
**1** Et. M. 514, 47; Greg. Naz. or. 43, 20; ep. 9 || **3** Plut. praec. ger. reip. 10 p. 804 D; Lucian. Hipp. 7; Iul. or. 3, 116a; schol. Theocr. 1b

**16** *κεχαλασμένον* Σ I. 4, 52a | *εὖ δ(ὲ) ἔχοντες*: Boe., *ἠὺ δ᾽ ἔχ.* Herm. | *ἔμμεναι* A || **21** *Ποσειδανίαισιν* Boe. e Σ || **23** *ψαυμιδι* Π^39 | ΥΓΙ[ Π^39, cf. Herod., *ὑγιέντα* Aristarch. in Σ
**A, CNØ = ζ, BELGH = v, ζ + v = α**, (Π^1) || **3** *-μένους* v. l. ap. Luc. et Iul.

χρὴ θέμεν τηλαυγές. εἰ δ' εἴ-
η μὲν Ὀλυμπιονίκας,
βωμῷ τε μαντείῳ ταμίας Διὸς ἐν Πίσᾳ,
συνοικιστήρ τε τᾶν κλεινᾶν Συρακοσ-
σᾶν, τίνα κεν φύγοι ὕμνον
κεῖνος ἀνήρ, ἐπικύρσαις
ἀφθόνων ἀστῶν ἐν ἱμερταῖς ἀοιδαῖς;
ἴστω γὰρ ἐν τούτῳ πεδί-
λῳ δαιμόνιον πόδ' ἔχων
Σωστράτου υἱός. ἀκίνδυνοι δ' ἀρεταί
οὔτε παρ' ἀνδράσιν οὔτ' ἐν ναυσὶ κοίλαις
τίμιαι· πολλοὶ δὲ μέμναν-
ται, καλὸν εἴ τι ποναθῇ.
Ἁγησία, τὶν δ' αἶνος ἑτοῖμος, ὃν ἐν δίκᾳ
ἀπὸ γλώσσας Ἄδραστος μάντιν Οἰκλεί-
δαν ποτ' ἐς Ἀμφιάρηον
φθέγξατ', ἐπεὶ κατὰ γαῖ' αὐ-
τόν τέ νιν καὶ φαιδίμας ἵππους ἔμαρψεν.
ἑπτὰ δ' ἔπειτα πυρᾶν νε-
κρῶν τελεσθέντων Ταλαϊονίδας
εἶπεν ἐν Θήβαισι τοιοῦτόν τι ἔπος·
'Ποθέω στρατιᾶς ὀφθαλμὸν ἐμᾶς
ἀμφότερον μάντιν τ' ἀγαθὸν καὶ
δουρὶ μάρνασθαι.' τὸ καί
ἀνδρὶ κώμου δεσπότᾳ πάρεστι Συρακοσίῳ.
οὔτε δύσηρις ἐὼν οὔτ' ὦν φιλόνικος ἄγαν,
καὶ μέγαν ὅρκον ὀμόσσαις τοῦτό γέ οἱ σαφέως
μαρτυρήσω· μελίφθογ-
γοι δ' ἐπιτρέψοντι Μοῖσαι.

Β'
ὦ Φίντις, ἀλλὰ ζεῦξον ἤ-
δη μοι σθένος ἡμιόνων,
ᾇ τάχος, ὄφρα κελεύθῳ τ' ἐν καθαρᾷ
βάσομεν ὄκχον, ἵκωμαί τε πρὸς ἀνδρῶν
καὶ γένος· κεῖναι γὰρ ἐξ ἀλ-
λᾶν ὁδὸν ἁγεμονεῦσαι

6 κεν] καὶ **A** ‖ 10 παρ'] ἐν **A** | οὔτε ναυσὶ **CEG** ‖ 11 ποναθῇ **C** ‖ 12 ἐνδίκας Sn. ‖ 13 ἀμφιάραον **ACØ** ‖ 15 νεκροῖς Wil. | τελεσθεισᾶν Pauw | ταλαονίδας **AB**[ac] ‖ 17 τ' om. **A** ‖ 19 δύσερις: byz. | φιλόνεικος: Cobet ‖ 23 ᾇ] ἦ **B**[ye]**E**[ye]





ταύταν ἐπίστανται, στεφάνους ἐν Ὀλυμπίᾳ
ἐπεὶ δέξαντο· χρὴ τοίνυν πύλας ὕ-
μνων ἀναπιτνάμεν αὐταῖς·
πρὸς Πιτάναν δὲ παρ' Εὐρώ-
τα πόρον δεῖ σάμερον ἐλθεῖν ἐν ὥρᾳ·
ἅ τοι Ποσειδάωνι μι-
χθεῖσα Κρονίῳ λέγεται
παῖδα ἰόπλοκον Εὐάδναν τεκέμεν.
κρύψε δὲ παρθενίαν ὠδῖνα κόλποις·
κυρίῳ δ' ἐν μηνὶ πέμποισ'
ἀμφιπόλους ἐκέλευσεν
ἥρωι πορσαίνειν δόμεν Εἰλατίδᾳ βρέφος,
ὃς ἀνδρῶν Ἀρκάδων ἄνασσε Φαισά-
νᾳ, λάχε τ' Ἀλφεὸν οἰκεῖν·
ἔνθα τραφεῖσ' ὑπ' Ἀπόλλω-
νι γλυκείας πρῶτον ἔψαυσ' Ἀφροδίτας.
οὐδ' ἔλαθ' Αἴπυτον ἐν παν-
τὶ χρόνῳ κλέπτοισα θεοῖο γόνον.
ἀλλ' ὁ μὲν Πυθῶνάδ', ἐν θυμῷ πιέσαις
χόλον οὐ φατὸν ὀξείᾳ μελέτᾳ,
ᾤχετ' ἰὼν μαντευσόμενος ταύ-
τας περ' ἀτλάτου πάθας.
ἁ δὲ φοινικόκροκον ζώναν καταθηκαμένα
κάλπιδά τ' ἀργυρέαν λόχμας ὑπὸ κυανέας
τίκτε θεόφρονα κοῦρον. τᾷ μὲν ὁ χρυσοκόμας
πραΰμητίν τ' Ἐλείθυι-
αν παρέστασ' ἔν τε Μοίρας·

Γ'
ἦλθεν δ' ὑπὸ σπλάγχνων ὑπ' ὠ-
δῖνός τ' ἐρατᾶς Ἴαμος
ἐς φάος αὐτίκα. τὸν μὲν κνιζομένα
λεῖπε χαμαί· δύο δὲ γλαυκῶπες αὐτὸν
δαιμόνων βουλαῖσιν ἐθρέ-
ψαντο δράκοντες ἀμεμφεῖ
ἰῷ μελισσᾶν καδόμενοι. βασιλεὺς δ' ἐπεί

41 Athen. 13, 81 p. 604 B ‖ 43 Paus. 6, 2, 5

27 ἀναπεπτάμεν' **A** ‖ 30 παῖδ' ἰοπλόκαμον: Bgk. | τεκέσθαι **A**[1] ‖ 31 κρύψαι **A**[1]ζ ‖ 32 ἐκέλευεν **A** ‖ 34 λάχε τ' **A**ζ, ἔλαχέ τ' **v** ‖ 40 λόχμαις ὑπὸ κυανέαις **A** ‖ 42 παρέστασέν: Peek ‖ 43 ὠδῖνός τ' ἐρατᾶς (τ' om. **A**): Wil.

[6] πετραέσσας ἐλαύνων ἵκετ' ἐκ Πυ-
θῶνος, ἅπαντας ἐν οἴκῳ
εἴρετο παῖδα, τὸν Εὐά-
δνα τέκοι· Φοίβου γὰρ αὐτὸν φᾶ γεγάκειν
πατρός, περὶ θνατῶν δ' ἔσεσθαι μάντιν ἐπιχθονίοις
ἔξοχον, οὐδέ ποτ' ἐκλείψειν γενεάν.
[3] ὣς ἄρα μάνυε. τοὶ δ' οὔτ' ὦν ἀκοῦσαι
οὔτ' ἰδεῖν εὔχοντο πεμπταῖ-
ον γεγενημένον. ἀλλ' ἐν
κέκρυπτο γὰρ σχοίνῳ βατιᾷ τ' ἐν ἀπειρίτῳ,
[6] ἴων ξανθαῖσι καὶ παμπορφύροις ἀ-
κτῖσι βεβρεγμένος ἁβρόν
σῶμα· τὸ καὶ κατεφάμι-
ξεν καλεῖσθαί νιν χρόνῳ σύμπαντι μάτηρ
τοῦτ' ὄνυμ' ἀθάνατον. τερ-
πνᾶς δ' ἐπεὶ χρυσοστεφάνοιο λάβεν
καρπὸν Ἥβας, Ἀλφεῷ μέσσῳ καταβαὶς
ἐκάλεσσε Ποσειδᾶν' εὐρυβίαν,
[3] ὃν πρόγονον, καὶ τοξοφόρον Δά-
λου θεοδμάτας σκοπόν,
αἰτέων λαοτρόφον τιμάν τιν' ἑᾷ κεφαλᾷ,
νυκτὸς ὑπαίθριος. ἀντεφθέγξατο δ' ἀρτιεπής
[6] πατρία ὄσσα, μετάλλασέν τέ νιν· "Ὄρσο, τέκνον,
δεῦρο πάγκοινον ἐς χώ-
ραν ἴμεν φάμας ὄπισθεν."

Δ' ἵκοντο δ' ὑψηλοῖο πέ-
τραν ἀλίβατον Κρονίου·
ἔνθα οἱ ὤπασε θησαυρὸν δίδυμον
[3] μαντοσύνας, τόκα μὲν φωνὰν ἀκούειν
ψευδέων ἄγνωτον, εὖτ' ἂν
δὲ θρασυμάχανος ἐλθών
Ἡρακλέης, σεμνὸν θάλος Ἀλκαϊδᾶν, πατρί

68 schol. Pind. I. 4, 104g

**51** οὐδέπω τέκεν λείψειν **A** ‖ **53** γεγεν(ν)αμένον: Ahrens ‖ **53–54** ἀλλ' ἐκρύπτετο A, ἀλλ' ἐν : κέκρυπτο α ‖ **54** βατεία: Wil. | ἀπειρά(ν)τῳ: Hey., Wilh. Schulze ‖ **55** ξανθαῖς τε A¹ ‖ **58** καταβὰς: Turyn ‖ **59** θεοδμάτου **A** ‖ **60** λαότροφον byz., prob. Von der Mühll, Ausg. kl. Schr. 203 ‖ **62** τέκνον **A**α, Σ 107 Av; τέκος Σ 106g **BEL** ‖ **63** χῶρον α ‖ **67** ἄγνωστον α ‖ **68.69** πατρὶ δ' **A**, πατρί θ' α: Herm.





[6] ἑορτάν τε κτίσῃ πλειστόμβροτον τε-
θμόν τε μέγιστον ἀέθλων,
Ζηνὸς ἐπ' ἀκροτάτῳ βω-
μῷ τότ' αὖ χρηστήριον θέσθαι κέλευσεν.
ἐξ οὗ πολύκλειτον καθ' Ἕλ-
λανας γένος Ἰαμιδᾶν·
ὄλβος ἅμ' ἕσπετο· τιμῶντες δ' ἀρετάς
[3] ἐς φανερὰν ὁδὸν ἔρχονται· τεκμαίρει
χρῆμ' ἕκαστον· μῶμος ἐξ ἄλ-
λων κρέμαται φθονεόντων
τοῖς, οἷς ποτε πρώτοις περὶ δωδέκατον δρόμον
[6] ἐλαυνόντεσσιν αἰδοία ποτιστά-
ξῃ Χάρις εὐκλέα μορφάν.
εἰ δ' ἐτύμως ὑπὸ Κυλλά-
νας ὄρος, Ἁγησία, μάτρωες ἄνδρες
ναιετάοντες ἐδώρη-
σαν θεῶν κάρυκα λιταῖς θυσίαις
πολλὰ δὴ πολλαῖσιν Ἑρμᾶν εὐσεβέως,
ὃς ἀγῶνας ἔχει μοῖράν τ' ἀέθλων,
[3] Ἀρκαδίαν τ' εὐάνορα τιμᾷ·
κεῖνος, ὦ παῖ Σωστράτου,
σὺν βαρυγδούπῳ πατρὶ κραίνει σέθεν εὐτυχίαν.
δόξαν ἔχω τιν' ἐπὶ γλώσσᾳ λιγυρᾶς ἀκόνας,
[6] ἅ μ' ἐθέλοντα προσέρπει καλλιρόαισι πνοαῖς.
ματρομάτωρ ἐμὰ Στυμ-
φαλίς, εὐανθὴς Μετώπα,

Ε' πλάξιππον ἃ Θήβαν ἔτι-
κτεν, τᾶς ἐρατεινὸν ὕδωρ
πίομαι, ἀνδράσιν αἰχματαῖσι πλέκων
[3] ποικίλον ὕμνον. ὄτρυνον νῦν ἑταίρους,
Αἰνέα, πρῶτον μὲν Ἥραν
Παρθενίαν κελαδῆσαι,

84 Pollux 3, 17

**70** αὖ **A**, ἂν A¹, αὐτῷ α | κέλευσέ νιν **A** ‖ **72** ὄλβος ἅμ' **ACØΠ¹**, ὄλβος δ' ἅμ' A¹, rell. ‖ **74** μῶμος δ' ἐξ: Boe. ‖ **75** πρώτοις **A**ζ^vl βΠ¹, πρῶτον Σ**A** ζ^vl**BL**^b ‖ **76** ποτιστάζει **ANØBE**, ποτιστάξει **CGH**, ποτιστάξῃ **F¹LΠ¹** ‖ **77** ὄρος Π¹ (cf. Hom. *B* 603), ὄροις **A**α (~ 98) ‖ **78** ἐδώρησαν **A**Π¹, δώρησαν α ‖ **80** τιμὰν **A** ‖ **82** ἀκόνας λιγυρᾶς: Bgk. ‖ **83** προσέλκοι **E**^γρ | -ρόοισι **A**α, -ρόαισιν Π¹

γνῶναί τ' ἔπειτ', ἀρχαῖον ὄνειδος ἀλαθέσιν
90 6 λόγοις εἰ φεύγομεν, Βοιωτίαν ὗν.
ἐσσὶ γὰρ ἄγγελος ὀρθός,
ἠυκόμων σκυτάλα Μοι-
σᾶν, γλυκὺς κρατὴρ ἀγαφθέγκτων ἀοιδᾶν·
— εἶπον δὲ μεμνᾶσθαι Συρα-
κοσσᾶν τε καὶ Ὀρτυγίας·
τὰν Ἱέρων καθαρῷ σκάπτῳ διέπων,
3 ἄρτια μηδόμενος, φοινικόπεζαν
95 ἀμφέπει Δάματρα λευκίπ-
που τε θυγατρὸς ἑορτάν
καὶ Ζηνὸς Αἰτναίου κράτος. ἁδύλογοι δέ νιν
6 λύραι μολπαί τε γινώσκοντι. μὴ θράσ-
σοι χρόνος ὄλβον ἐφέρπων,
σὺν δὲ φιλοφροσύναις εὐ-
ηράτοις Ἁγησία δέξαιτο κῶμον
— οἴκοθεν οἴκαδ' ἀπὸ Στυμ-
φαλίων τειχέων ποτινισόμενον,
100 ματέρ' εὐμήλοιο λείποντ' Ἀρκαδίας.
ἀγαθαὶ δὲ πέλοντ' ἐν χειμερίᾳ
3 νυκτὶ θοᾶς ἐκ ναὸς ἀπεσκίμ-
φθαι δύ' ἄγκυραι. θεὸς
τῶνδε κείνων τε κλυτὰν αἶσαν παρέχοι φιλέων.
δέσποτα ποντόμεδον, εὐθὺν δὲ πλόον καμάτων
6 ἐκτὸς ἐόντα δίδοι, χρυσαλακάτοιο πόσις
105 Ἀμφιτρίτας, ἐμῶν δ' ὕ-
μνων ἄεξ' εὐτερπὲς ἄνθος.

89 Plut. de esu carn. 1, 6, 4 p. 995 E || 92–95 inscr. Syrac. IG XIV 16 (vix genuinum) || 101 Eustath. Il. 1078, 1

90 εεσι Π$^1$, ἔστι vel εἰσι Wil. || 91 ἀφθόγγων A || 95 ἑορτάς A || 97 θραύσοι: Boe., Schneidewin (μὴ ταράσσοι schol. A) || 98 εὐκράτοις A$^1$ || 100 λιπόντ': byz. | πέλονταί γ' ἐν A, πέλονταί τ' ἐν C, πέλονται EL || 101 ἀπεσκῆφθαι A || 103 εὔθυνε πλόον, καμάτων δ' A (in paraphr. non item) || 105 δ' om. A | ἄεξ' CØv, δέξ' ALN





## VII (464)

## ΔΙΑΓΟΡΑΙ ΡΟΔΙΩΙ ΠΥΚΤΗΙ

metrum: dactyloepitr. Α' – Ε'

ΣΤΡ  d$^2$_e_D ||$^2$ e⏓E ||$^3$ _e ||$^{4\ 4.10?}$ ⏓E_D_D || $^5$D_e_D ||$^6$ d$^2$_e_D_ |||

ΕΠ  D_D_e ||$^2$ E_D_ |⏑⏑|$^3$ _⏑⏑_ $^{-72}$⏑⏑| ⏑_⏑⏑_⏑⏑_ $^{-15}$ __ |⏑⏑_⏑⏑_ ||$^4$ E$^{16}$⏓ |$^5$ D$^{74?}$⏓⏑e_D || $^6$d$^2$D_e ||$^7$ E_e_ |||

ep. v. 2/3 fort. hoc modo explicandi: 2 E_D e || 3 d$^1$⏑e d$^2$ d$^2$ ⋮ _D || cf. Wil. Gr. Versk. 432

Α' Φιάλαν ὡς εἴ τις ἀφνειᾶς ἀπὸ χειρὸς ἑλών
ἔνδον ἀμπέλου καχλάζοισαν δρόσῳ
3 δωρήσεται
νεανίᾳ γαμβρῷ προπίνων
οἴκοθεν οἴκαδε, πάγχρυσον, κορυφὰν κτεάνων,
5 συμποσίου τε χάριν κα-
δός τε τιμάσαις ἑόν, ἐν δὲ φίλων
— 6 παρεόντων θῆκέ νιν ζαλωτὸν ὁμόφρονος εὐνᾶς·
καὶ ἐγὼ νέκταρ χυτόν, Μοισᾶν δόσιν, ἀεθλοφόροις
ἀνδράσιν πέμπων, γλυκὺν καρπὸν φρενός,
3 ἱλάσκομαι,
10 Ὀλυμπίᾳ Πυθοῖ τε νικών-
τεσσιν· ὁ δ' ὄλβιος, ὃν φᾶμαι κατέχωντ' ἀγαθαί·
ἄλλοτε δ' ἄλλον ἐποπτεύ-
ει Χάρις ζωθάλμιος ἁδυμελεῖ
— 6 θαμὰ μὲν φόρμιγγι παμφώνοισί τ' ἐν ἔντεσιν αὐλῶν.
καί νυν ὑπ' ἀμφοτέρων σὺν
Διαγόρᾳ κατέβαν, τὰν ποντίαν

1–4 Athen. 11, 111 p. 503 F || 2 Syrian. in Hermog. 1, 41, 9 Rabe || 4 Iulian. epist. 4, 428b p. 8 B.-C.

A, CN (Ø vel O) = ζ, BELGH = v, ELGH = β, GH = γ, v + ζ = α, (Π$^1$Π$^{22}$) || 4 προπέμπων Σ$^{7e}$ || 5 συμποσίω A$^{ac}$ | ἑόν: νέον Bgk. || 6 νιν AζΠ$^{22}$, μιν v || 10 κατεχωντ Π$^{22}$, κατέχοντ' Aα || 11 ζωοφθάλμιος ζ || 12 ἅμα A$^1$ | παμφώνων τε A$^1$ | ἐν om. v || 13. 14 ποντίας – Ἀμφιτρίτας Σ$^{7e}$

B′ τὸν οὔτε χειμέριος ὄμβρος, ἐπακτὸς ἐλθὼν
ἐριβρόμου νεφέλας
στρατὸς ἀμείλιχος, οὔτ᾽ ἄνεμος ἐς μυχοὺς
ἁλὸς ἄξοισι παμφόρῳ χεράδει
τυπτόμενον. φάει δὲ πρόσωπον ἐν καθαρῷ
πατρὶ τεῷ, Θρασύβουλε, κοινάν τε γενεᾷ
λόγοισι θνατῶν εὔδοξον ἅρματι νίκαν
Κρισαίαις ἐνὶ πτυχαῖς ἀπαγγελεῖ.

Γ′ σύ τοι σχεθὼν νιν ἐπὶ δεξιὰ χειρός, ὀρθὰν
ἄγεις ἐφημοσύναν,
τά ποτ᾽ ἐν οὔρεσι φαντὶ μεγαλοσθενεῖ
Φιλύρας υἱὸν ὀρφανιζομένῳ
Πηλεΐδᾳ παραινεῖν· μάλιστα μὲν Κρονίδαν,
βαρύοπα στεροπᾶν κεραυνῶν τε πρύτανιν,
θεῶν σέβεσθαι· ταύτας δὲ μή ποτε τιμᾶς
ἀμείρειν γονέων βίον πεπρωμένον.

Δ′ ἔγεντο καὶ πρότερον Ἀντίλοχος βιατὰς
νόημα τοῦτο φέρων,
ὃς ὑπερέφθιτο πατρός, ἐναρίμβροτον
ἀναμείναις στράταρχον Αἰθιόπων
Μέμνονα. Νεστόρειον γὰρ ἵππος ἅρμ᾽ ἐπέδα
Πάριος ἐκ βελέων δαϊχθείς· ὁ δ᾽ ἔφεπεν
κραταιὸν ἔγχος· Μεσσανίου δὲ γέροντος
δονηθεῖσα φρὴν βόασε παῖδα ὅν,

E′ χαμαιπετὲς δ᾽ ἄρ᾽ ἔπος οὐκ ἀπέριψεν· αὐτοῦ
μένων δ᾽ ὁ θεῖος ἀνὴρ
πρίατο μὲν θανάτοιο κομιδὰν πατρός,
ἐδόκησέν τε τῶν πάλαι γενεᾷ
ὁπλοτέροισιν ἔργον πελώριον τελέσαις
ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀρετάν.
τὰ μὲν παρίκει· τῶν νῦν δὲ καὶ Θρασύβουλος
πατρῴαν μάλιστα πρὸς στάθμαν ἔβα,

F′ πάτρῳ τ᾽ ἐπερχόμενος ἀγλαΐαν {ἔδειξεν} ἅπασαν.
νόῳ δὲ πλοῦτον ἄγει,

10 οὐ v || 12 ἄνεμοι E (paraphr.) || 13 πολυφόρῳ B[1] | χεράδι: Beck (cf. fr. 327) || 14 τυπτόμενοι v (paraphr.), -νος V: Dawes | πρόσωθεν Maas || 15 κοινᾷ V || 19 νῦν B || 21 τάν: E. Schmid || 23 μὲν] δὲ V || 24 βαρυόπαν: Maas || 25 θεὸν B || 28 ἐγένετο: Tricl. || 31 ἀμμείνας: Tricl. || 32 νεστόρεον: byz. || 33 δαχθείς B || 38 μένων ὁ Bgk. || 44 τῶν δὲ νῦν: byz. || 46 secl. Bgk.[2]





ἄδικον οὐθ᾽ ὑπέροπλον ἥβαν δρέπων,
σοφίαν δ᾽ ἐν μυχοῖσι Πιερίδων·
τίν τ᾽, Ἐλέλιχθον, ἄρχεις ὃς ἱππιᾶν ἐσόδων,
μάλα ἁδόντι νόῳ, Ποσειδάν, προσέχεται.
γλυκεῖα δὲ φρὴν καὶ συμπόταισιν ὁμιλεῖν
μελισσᾶν ἀμείβεται τρητὸν πόνον.

## VII (486)

## ΜΕΓΑΚΛΕΙ ΑΘΗΝΑΙΩΙ ΤΕΘΡΙΠΠΩΙ

metrum: aeolicum. A′

ΣΤΡ

| | | |
|---|---|---|
| 1 | ——◡—◡⏑⏑◡⏑⏑\|◡——\|\| | 2ia \| ba \|\| |
| 2 | ◡—◡◡— —◡— ×—◡—\| | (ia) cr ia \| |
| 3 | ◡—— —◡— —\|——◡◡——\|\| | ba cr pher \|\| |
| 4 | ◡—◡◡ —◡◡— —\|——◡◡—◡—\|\| | ia cho gl \|\| |
| 5 | ◡◡—◡—\|\| | ◡◡◡—◡— \|\| |
| 6 | ×◡◡——\|\|\| | ia — \|\|\| |

ΕΠ

| | | |
|---|---|---|
| 1/2 | —◡◡—\|\| ——◡—◡◡—\| | ia \|\| ∧chodim \| |
| 3 | ◡—— —◡— ——◡◡—◡—\| | ba cr ∧gl \| |
| 4 | ◡◡—◡◡—\|◡◡—◡—◡◡—\| | (∧chodim) \| chodim \| |
| 5 | ———◡—◡◡—\| | chodim \| |
| 6 | ——◡— —◡◡—\| ◡—◡◡——\|\|\| | ia cho \| ∧pher \|\|\| |

Κάλλιστον αἱ μεγαλοπόλιες Ἀθᾶναι
προοίμιον Ἀλκμανιδᾶν εὐρυσθενεῖ
γενεᾷ κρηπῖδ᾽ ἀοιδᾶν ἵπποισι βαλέσθαι.
ἐπεὶ τίνα πάτραν, τίνα οἶκον ναίων ὀνυμάξεαι

47 schol. Aristid. p. 54, 30 Dind.; Eustath. prooem. 12

50 ὀργαῖς πάσαις: ἄρχεις Bowra, ὤπασας Wil., ὀρθοῖς Erbse | ἱππείαν ἔσοδον: M. Schmidt (ἱππικὰς ἁμίλλας paraphr.) || 51 προσέρχεται: E. Schmid

V, BEFGH = v, EFGH = β, GH = γ || 1 μεγαλοπόλες: Boe. || 4 ἵπποις: Tricl. || 5 τίνα τ᾽ οἶκον Vv, τίν᾽ οἶκον γ[1]: Boe. || 6 ναίοντ᾽ et τ᾽ ἀίων (= ἀκούων) et αἰῶν(ι) Σ[Vp] | ὀνυμάξαι Vv (-ξω v. l. in β e paraphr. Σ?), -ξομαι Didymus (?), byz.: Boe.

ἐπιφανέστερον
6 Ἑλλάδι πυθέσθαι;
πάσαισι γὰρ πολίεσι λόγος ὁμιλεῖ
10 Ἐρεχθέος ἀστῶν, Ἄπολλον, οἳ τεόν
11/12 3 δόμον Πυθῶνι δίᾳ θαητὸν ἔτευξαν.
13/14 ἄγοντι δέ με πέντε μὲν Ἰσθμοῖ νῖκαι, μία δ' ἐκπρεπής
15 Διὸς Ὀλυμπιάς,
6 δύο δ' ἀπὸ Κίρρας,
ὦ Μεγάκλεες,
ὑμαί τε καὶ προγόνων.
3 νέᾳ δ' εὐπραγίᾳ χαίρω τι· τὸ δ' ἄχνυμαι,
φθόνον ἀμειβόμενον τὰ καλὰ ἔργα. φαντί γε μάν
20 οὕτω κ' ἀνδρὶ παρμονίμαν
6 θάλλοισαν εὐδαιμονίαν τὰ καὶ τὰ φέρεσθαι.

## VIII (446)

## ΑΡΙΣΤΟΜΕΝΕΙ ΑΙΓΙΝΗΤΗΙ ΠΑΛΑΙΣΤΗΙ

metrum: aeolicum *Α'–Ε'*

*ΣΤΡ*

| | | |
|---|---|---|
| 1 | ⏑⏑ ⏑–⏑⏑ –⏑–‖ | *gl* ‖ |
| 2 | – ⏑–⏑⏑ ⏑⏑⏑–‖ | *gl vel chodim* ‖ |
| 3 | ––⏑– ⏑⏑–‖ | *∧chodim* ‖ |
| 4 | ⏑–⏑–– ⏑⏑–⏑–‖ | *⏑– gl vel chodim⏑–* ‖ |
| 5 | –⏑⏑–– –45.65 ×–⏑– ⏑⏑–⏑–‖ | *cho – × gl vel cho chodim ⏑–* ‖ |
| 6 | ×–⏑–⏑⏑–– –6.93 ×–⏑– ⏑–‖ | *∧chodim (gl)* ‖ |
| 7 | ×–⏑– ×–⏑̄– (47?) ⏑–‖‖ | *ia (∧gl)* ‖‖ |

*ΕΠ*

| | | |
|---|---|---|
| 1 | ⏑ –⏑–⏑⏑– ⏑̄–– (35?) ⏑̄ –⏑–‖ (55?) | *∧chodim ba ia* ‖ |
| 2 | ––⏑–⏑⏑– –×–⏑⏑––‖ | *∧chodim pher* ‖ |
| 3 | –⏑̄–⏑⏑–⏑–– \| ––⏑⏑––‖ | *gl pher* ‖ |
| 4 | ––⏑⏑––⏑ ⏑–⏑ –⏑–\| | *∧gl^c ⏑–* \| |
| 5 | ⏑––⏑⏑– ⏑– –⏑–⏑⏑–⏑–‖ | *gl gl* ‖ |
| 6 | ––⏑̆ (60.100) –⏑̆–⏑⏑–⏑– ⏑–––‖‖ (60.100) | *––× gl ba* ‖‖ |

9 πόλεσιν **EF** | ὁ λόγος **v** ‖ **10sq.** τέον τε δόμον **v**, τὲ (= τεὸν) δ. **V**: τεὸν πρόδομον Schr. ‖ **20** κεν: Wil.





*Α'* Φιλόφρον Ἡσυχία, Δίκας
ὦ μεγιστόπολι θύγατερ,
3 βουλᾶν τε καὶ πολέμων
ἔχοισα κλαῗδας ὑπερτάτας
5 Πυθιόνικον τιμὰν Ἀριστομένει δέκευ.
6 τὺ γὰρ τὸ μαλθακὸν ἔρξαι τε καὶ παθεῖν ὁμῶς
ἐπίστασαι καιρῷ σὺν ἀτρεκεῖ·
τὺ δ' ὁπόταν τις ἀμείλιχον
καρδίᾳ κότον ἐνελάσῃ,
10 3 τραχεῖα δυσμενέων
ὑπαντιάξαισα κράτει τιθεῖς
ὕβριν ἐν ἄντλῳ, τὰν οὐδὲ Πορφυρίων μάθεν
6 παρ' αἶσαν ἐξερεθίζων. κέρδος δὲ φίλτατον,
ἑκόντος εἴ τις ἐκ δόμων φέροι.
15 βία δὲ καὶ μεγάλαυχον ἔσφαλεν ἐν χρόνῳ.
Τυφὼς Κίλιξ ἑκατόγκρανος οὔ νιν ἄλυξεν,
3 οὐδὲ μὰν βασιλεὺς Γιγάντων· δμᾶθεν δὲ κεραυνῷ
τόξοισί τ' Ἀπόλλωνος· ὃς εὐμενεῖ νόῳ
Ξενάρκειον ἔδεκτο Κίρραθεν ἐστεφανωμένον
20 6 υἱὸν ποίᾳ Παρνασσίδι Δωριεῖ τε κώμῳ.
*Β'* ἔπεσε δ' οὐ Χαρίτων ἑκάς
ἁ δικαιόπολις ἀρεταῖς
3 κλειναῖσιν Αἰακιδᾶν
θιγοῖσα νᾶσος· τελέαν δ' ἔχει
25 δόξαν ἀπ' ἀρχᾶς. πολλοῖσι μὲν γὰρ ἀείδεται
6 νικαφόροις ἐν ἀέθλοις θρέψαισα καὶ θοαῖς
ὑπερτάτους ἥρωας ἐν μάχαις·
τὰ δὲ καὶ ἀνδράσιν ἐμπρέπει.
εἰμὶ δ' ἄσχολος ἀναθέμεν
30 3 πᾶσαν μακραγορίαν
λύρᾳ τε καὶ φθέγματι μαλθακῷ,
μὴ κόρος ἐλθὼν κνίσῃ. τὸ δ' ἐν ποσί μοι τράχον
6 ἴτω τεὸν χρέος, ὦ παῖ, νεώτατον καλῶν,
ἐμᾷ ποτανὸν ἀμφὶ μαχανᾷ.

**V, BEFGH = v, EFGH = β, GH = γ** ‖ **6** ἄρξαι **V** | ὅπως **B** ‖ **8** τις om. **V** ‖ **10** δυσμενέσιν H. Fränkel ‖ **13** δὲ om. **V** ‖ **14** εἰς δόμον $γ^{ve}$ | φέρει $V^1$ ‖ **16** ἑκατοντακάρανος (-ντο- **BF**): E. Schmid | μιν: Mo. ‖ **20** παρνασίᾳ: Boe. ‖ **28** καὶ ἐν ἀνδρ. **v**(Σ) ‖ **32** κνίξῃ Schr.

ὄνυχας ὀξυτάτους ἀκμάν
καὶ δεινοτάτων σχάσαις ὀδόντων
Θ' ἔγαμεν ὑψιθρόνων μίαν Νηρεΐδων.
66 εἶδεν δ' εὔκυκλον ἕδραν,
3 τὰν οὐρανοῦ βασιλῆες πόντου τ' ἐφεζόμενοι
δῶρα καὶ κράτος ἐξέφαναν ἐγγενὲς αὐτῷ.
Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν· ἀπότρεπε
70 6 αὖτις Εὐρώπαν ποτὶ χέρσον ἔντεα ναός·
ἄπορα γὰρ λόγον Αἰακοῦ
παίδων τὸν ἅπαντά μοι διελθεῖν.
Ι' Θεανδρίδαισι δ' ἀεξιγυίων ἀέθλων
κάρυξ ἑτοῖμος ἔβαν
75 3 Οὐλυμπίᾳ τε καὶ Ἰσθμοῖ Νεμέᾳ τε συνθέμενος,
ἔνθα πεῖραν ἔχοντες οἴκαδε κλυτοκάρπων
οὐ νέοντ' ἄνευ στεφάνων, πάτραν ἵν' ἀκούομεν,
6 Τιμάσαρχε, τεὰν ἐπινικίοισιν ἀοιδαῖς
πρόπολον ἔμμεναι. εἰ δέ τοι
80 μάτρῳ μ' ἔτι Καλλικλεῖ κελεύεις
ΙΑ' στάλαν θέμεν Παρίου λίθου λευκοτέραν·
ὁ χρυσὸς ἑψόμενος
3 αὐγὰς ἔδειξεν ἁπάσας, ὕμνος δὲ τῶν ἀγαθῶν
ἐργμάτων βασιλεῦσιν ἰσοδαίμονα τεύχει
85 φῶτα· κεῖνος ἀμφ' Ἀχέροντι ναιετάων ἐμάν
6 γλῶσσαν εὑρέτω κελαδῆτιν, Ὀρσοτριαίνα
ἵν' ἐν ἀγῶνι βαρυκτύπου
θάλησε Κορινθίοις σελίνοις·
ΙΒ' τὸν Εὐφάνης ἐθέλων γεραιὸς προπάτωρ
90 σὸς ἄεισέν ποτε, παῖ.
3 ἄλλοισι δ' ἅλικες ἄλλοι· τὰ δ' αὐτὸς ἀντιτύχῃ,
ἔλπεταί τις ἕκαστος ἐξοχώτατα φάσθαι.
οἷον αἰνέων κε Μελησίαν ἔριδα στρέφοι,

69 schol. Pind. I. 4, 21 b; schol. Eur. Hipp. 744

64 καὶ] τε: Ahlwardt || 66 ἕδρας Σ 107 d || 67 τᾶς: τὰν Herwerden || 68 ἐς γενεὰς **VBD**, ἐγγενὲς paraphr., ἐγ γένος Wil. || 77 πάτραν νιν **BD**[pc] || 90 ὁ σὸς ἀείσεται, παῖ: Herm. || 91 ἄν τις τύχῃ: Mingarelli || 93 οἷον Didym., οἷον Aristarch. | ἔριδας paraphr. 151 a





6 ῥήματα πλέκων, ἀπάλαιστος ἐν λόγῳ ἕλκειν,
95 μαλακὰ μὲν φρονέων ἐσλοῖς,
τραχὺς δὲ παλιγκότοις ἔφεδρος.

V (483?)

## ΠΥΘΕΑΙ ⟨ΑΙΓΙΝΗΤΗΙ ΑΓΕΝΕΙΩΙ⟩ ΠΑΓΚΡΑΤΙΑΣΤΗΙ

metrum: dactyloepitr. Α'–Γ'

ΣΤΡ _EE_D_e||[2]D_ ⁝ D|◡e_||[3]E_e||
4_E[10]◡◡|_e||[5]_e ◡[11.47] D||[6]_e[6.12]◡◡_
e_|E_|||

ΕΠ [31]◡D[13]◡|E_||[2]D_|e◡[14]|E||[3]_D_|E|
4_e_d[1] ⁝ [−34]D[16]◡e|[5]_D_e||[6]e_
Dd[2]_e_|||

Α' Οὐκ ἀνδριαντοποιός εἰμ', ὥστ' ἐλινύσοντα ἐργάζεσθαι ἀγάλματ' ἐπ' αὐτᾶς βαθμίδος
ἑστᾰότ'· ἀλλ' ἐπὶ πάσας
ὁλκάδος ἔν τ' ἀκάτῳ, γλυκεῖ' ἀοιδά,
3 στεῖχ' ἀπ' Αἰγίνας διαγγέλλοισ', ὅτι
Λάμπωνος υἱὸς Πυθέας εὐρυσθενής
5 νίκη Νεμείοις παγκρατίου στέφανον,
6 οὔπω γένυσι φαίνων τερείνας
ματέρ' οἰνάνθας ὀπώραν,
ἐκ δὲ Κρόνου καὶ Ζηνὸς ἥρωας αἰχματὰς φυτευθέντας καὶ ἀπὸ χρυσεᾶν Νηρηΐδων
Αἰακίδας ἐγέραιρεν
ματρόπολίν τε, φίλαν ξένων ἄρουραν·

1 schol. Pind. I. 2, 66; schol. Pind. I. 5 inscr. a; Plut. max. c. princ. 1 p. 776 C || 6 schol. Pind. N. 9, 114 b

95 μαλθακὰ: E. Schmid **BD** || inscr. suppl. Boe. et Blass || 1 ἐργάσασθαι Σ Isth. 2 || 6 τέρειναν: Dreykorn | οἰνάνθαν ὀπώρας Pauw || 7 νηρεΐδων: Tricl.

3 τάν ποτ᾽ εὔανδρόν τε καὶ ναυσικλυτάν
θέσσαντο, πὰρ βωμὸν πατέρος Ἑλλανίου
στάντες, πίτναν τ᾽ ἐς αἰθέρα χεῖρας ἁμᾶ
6 Ἐνδαΐδος ἀριγνῶτες υἱοί
καὶ βία Φώκου κρέοντος,
—
ὁ τᾶς θεοῦ, ὃν Ψαμάθεια τίκτ᾽ ἐπὶ ῥηγμῖνι πόντου.
αἰδέομαι μέγα εἰπεῖν
ἐν δίκᾳ τε μὴ κεκινδυνευμένον,
3 πῶς δὴ λίπον εὐκλέα νᾶσον,
καὶ τίς ἄνδρας ἀλκίμους
δαίμων ἀπ᾽ Οἰνώνας ἔλασεν.
στάσομαι· οὔ τοι ἅπασα κερδίων
φαίνοισα πρόσωπον ἀλάθει᾽ ἀτρεκές·
6 καὶ τὸ σιγᾶν πολλάκις ἐστὶ σοφώ-
τατον ἀνθρώπῳ νοῆσαι.

Β′ εἰ δ᾽ ὄλβον ἢ χειρῶν βίαν ἢ σιδαρίταν ἐπαινῆ-
σαι πόλεμον δεδόκηται, μακρά μοι
αὐτόθεν ἅλμαθ᾽ ὑποσκά-
πτοι τις· ἔχω γονάτων ὁρμὰν ἐλαφράν·
3 καὶ πέραν πόντοιο πάλλοντ᾽ αἰετοί.
πρόφρων δὲ καὶ κείνοις ἄειδ᾽ ἐν Παλίῳ
Μοισᾶν ὁ κάλλιστος χορός, ἐν δὲ μέσαις
6 φόρμιγγ᾽ Ἀπόλλων ἑπτάγλωσσον
χρυσέῳ πλάκτρῳ διώκων
—
ἁγεῖτο παντοίων νόμων· αἱ δὲ πρώτιστον μὲν ὕμνη-
σαν Διὸς ἀρχόμεναι σεμνὰν Θέτιν
Πηλέα θ᾽, ὥς τέ νιν ἁβρὰ
Κρηθεῒς Ἱππολύτα δόλῳ πεδᾶσαι
3 ἤθελε ξυνᾶνα Μαγνήτων σκοπόν
πείσαισ᾽ ἀκοίταν ποικίλοις βουλεύμασιν,
ψεύσταν δὲ ποιητὸν συνέπαξε λόγον,
6 ὡς ἦρα νυμφείας ἐπείρα
κεῖνος ἐν λέκτροις Ἀκάστου
—

16—18 Stob. flor. 3, 11, 16 (3, 432 W.-H.)

**13** ὃν] τὸν: E. Schmid ‖ **17** ἀτρεκές Stob., ἀτρεκής **B(D)** ‖ **20** ἔξω: byz. | ἐλαφρὰν ὁρμάν **BD**, ἐλαφρὸν ὁρμάν E. Schmid (cf. Maas, Gr. Metre p. 40sq.): Turyn ‖ **22** ἀείδει παλίῳ: Pauw ‖ **27** ξυνεῦνα **B** ‖ **29** συνέπλεξε **D** ‖ **30** ἄρα: Schr. | ἀκάστα **D**





εὐνᾶς· τὸ δ᾽ ἐναντίον ἔσκεν· πολλὰ γάρ νιν παντὶ θυμῷ
παρφαμένα λιτάνευεν.
τοῖο δ᾽ ὀργὰν κνίζον αἰπεινοὶ λόγοι·
3 εὐθὺς δ᾽ ἀπανάνατο νύμφαν,
ξεινίου πατρὸς χόλον
δείσαις· ὁ δ᾽ εὖ φράσθη κατένευ-
σέν τέ οἱ ὀρσινεφὴς ἐξ οὐρανοῦ
Ζεὺς ἀθανάτων βασιλεύς, ὥστ᾽ ἐν τάχει
6 ποντίαν χρυσαλακάτων τινὰ Νη-
ρεΐδων πράξειν ἄκοιτιν,

Γ′ γαμβρὸν Ποσειδάωνα πείσαις, ὃς Αἰγᾶθεν ποτὶ κλει-
τὰν θαμὰ νίσεται Ἰσθμὸν Δωρίαν·
ἔνθα νιν εὔφρονες ἶλαι
σὺν καλάμοιο βοᾷ θεὸν δέκονται,
3 καὶ σθένει γυίων ἐρίζοντι θρασεῖ.
Πότμος δὲ κρίνει συγγενὴς ἔργων πέρι
πάντων. τὺ δ᾽ Αἰγίναθε δίς, Εὐθύμενες,
6 Νίκας ἐν ἀγκώνεσσι πίτνων
ποικίλων ἔψαυσας ὕμνων.
—
ἤτοι μεταΐξαις σὲ καὶ νῦν τεὸς μάτρως ἀγάλλει
κείνου ὁμόσπορον ἔθνος, Πυθέα.
ἁ Νεμέα μὲν ἄραρεν
μείς τ᾽ ἐπιχώριος, ὃν φίλησ᾽ Ἀπόλλων·
3 ἅλικας δ᾽ ἐλθόντας οἴκοι τ᾽ ἐκράτει
Νίσου τ᾽ ἐν εὐαγκεῖ λόφῳ. χαίρω δ᾽ ὅτι
ἐσλοῖσι μάρναται πέρι πᾶσα πόλις.
6 ἴσθι, γλυκεῖάν τοι Μενάνδρου
σὺν τύχᾳ μόχθων ἀμοιβὰν
—
ἐπαύρεο. χρὴ δ᾽ ἀπ᾽ Ἀθανᾶν τέκτον᾽ ἀεθληταῖσιν ἔμμεν·
εἰ δὲ Θεμίστιον ἵκεις
ὥστ᾽ ἀείδειν, μηκέτι ῥίγει· δίδοι
3 φωνάν, ἀνὰ δ᾽ ἱστία τεῖνον
πρὸς ζυγὸν καρχασίου,

50 schol. Pind. I. 6, 95

**31** μιν: Mo. ‖ **32** τοῦ δὲ ὀργὰν: Herm. ‖ **36** πράξον **D** ‖ **38** μιν: Mo. ‖ **41** αἰγιναθεας: Ed. Schwartz ‖ **43** μεταΐξαντα: byz., Wil., Turyn | κείνου] σου paraphr. 78 b (i. e. ὑμὸν?) | Πυθέας **BD**, ἔνιοι γράφουσι Πυθέας Σ 78 c, unde Πυθέα Mingarelli ‖ **45** ἐκράτεις Kayser ‖ **50** δίδου: Herm.

πύκταν τέ νιν καὶ παγκρατίου
φθέγξαι ἑλεῖν Ἐπιδαύρῳ διπλόαν
νικῶντ' ἀρετάν, προθύροισιν δ' Αἰακοῦ
6 ἀνθέων ποιάεντα φέρε στεφανώ-
ματα σὺν ξανθαῖς Χάρισσιν.

## VI (465?)

## ΑΛΚΙΜΙΔΑΙ ΑΙΓΙΝΗΤΗΙ ΠΑΙΔΙ ΠΑΛΑΙΣΤΗΙ

metrum: aeolica, dimetra, choriambica ad dactylos vergentia *Α′–Γ′*

*ΣΤΡ*

1 ⏑——|
—⏑—⏑⏑—⏑— ⏑⏑ ⏑ —|| ba | gl ⏑⏑cr |
2 —⏑—⏑⏑—⏑— —⏑—⏑ —⏑⏑—|| gl chodim ||
3 ⏑⏑⏑—⏑⏑—⏑⏑⏑—⏑⏑—⏑⏑—⏑⏑—| ⏑⏑ gl⏑⏑ (chodim) |
4 ⏑⏑—⏑⏑—⏑⏑— (chodim)
⏑⏑⏑—⏑̲ [4.11] |—⏑—|| ⏑⏑cr ia ||
5 ⏑⏑——⏑⏑—⏑⏑—| [–50] (chodim) |
6 —⏑⏑—⏑⏑— ∧chodim
——⏑⏑—⏑⏑⏑——|| ∧gl⏑⏑ sp ||
7 — ⏑ ⏑⏑—|| tr ||
8 — ⏑ ⏑⏑—⏑⏑— [14.36 7] ∧chodim
⏑—⏑—||| ia ||

*ΕΠ*

1 —⏑⏑——⏑⏑—⏑⏑—⏑⏑⏑—| cho ∧chodim ⏑⏑cr |
2 —⏑⏑⏑⏑—⏑—| gl |
3 ——⏑⏑ —⏑⏑—⏑⏑——⏑⏑—| chotrim cho |
4 —⏑⏑ —⏑⏑—⏑⏑—⏑—| gl^d |
5 ——⏑⏑— —⏑⏑—⏑⏑—| (ia) ∧chodim |
6 ⏑⏑—⏑—| [64] ⏑—⏑——| ia | ia — |
7 — — [? ?] ——⏑⏑—⏑—|| sp? ∧gl ||
8 ——⏑⏑—⏑⏑—⏑⏑—||| chotrim |||

str. 3 (chodim) = 4 da, str. 4 (chodim) = ⏑⏑ 3 da, cr ia = tro|cr vel (gl), str. 5 (chodim) = ⏑⏑— 3 da, str. 6 ∧chodim = 3 da, ep. 1 ∧chodim = 3 da, ep. 3 chotrim = — 4 da, ep. 4 = 4 da⏑—, ep. 5 = — 2 da 3 da, ep. 6 = ⏑⏑e | ⏑e—|, ep. 7 = —3 da⏑—, ep. 8 = —4 da.

52 παγκρατίῳ B | τριπλόαν B (B[1] non item) || 54 ἄνθεα: Herm. | φέρειν: Wil.





*Α′* Ἓν ἀνδρῶν, ἓν θεῶν γένος· ἐκ μιᾶς δὲ πνέομεν
ματρὸς ἀμφότεροι· διείργει δὲ πᾶσα κεκριμένα
3 δύναμις, ὡς τὸ μὲν οὐδέν, ὁ δὲ
χάλκεος ἀσφαλὲς αἰὲν ἕδος
μένει οὐρανός. ἀλλά τι προσφέρομεν ἔμπαν ἢ μέγαν
5 νόον ἤτοι φύσιν ἀθανάτοις,
6 καίπερ ἐφαμερίαν οὐκ εἰδότες οὐδὲ μετὰ νύκτας
6b ἄμμε πότμος
ἄντιν' ἔγραψε δραμεῖν ποτὶ στάθμαν.
τεκμαίρει {δὲ} καί νυν Ἀλκιμίδας τὸ συγγενὲς ἰδεῖν
ἄγχι καρποφόροις ἀρούραισιν, αἵτ' ἀμειβόμεναι
10 3 τόκα μὲν ὦν βίον ἀνδράσιν ἐπ-
ηετανὸν ἐκ πεδίων ἔδοσαν,
τόκα δ' αὖτ' ἀναπαυσάμεναι σθένος ἔμαρψαν. ἦλθέ τοι
Νεμέας ἐξ ἐρατῶν ἀέθλων
6 παῖς ἐναγώνιος, ὃς ταύ-
ταν μεθέπων Διόθεν αἶσαν
13b νῦν {τε} πέφανται
οὐκ ἄμμορος ἀμφὶ πάλᾳ κυναγέτας,
15 ἴχνεσιν ἐν Πραξιδάμαντος ἑὸν πόδα νέμων
πατροπάτορος ὁμαιμίοις.
3 κεῖνος γὰρ Ὀλυμπιόνικος ἐὼν Αἰακίδαις
ἔρνεα πρῶτος ⟨ἔνεικεν⟩ ἀπ' Ἀλφεοῦ,
καὶ πεντάκις Ἰσθμοῖ στεφανωσάμενος,
20 6 Νεμέᾳ δὲ τρεῖς, ἔπαυσε λάθαν
Σαοκλείδα', ὃς ὑπέρτατος
Ἁγησιμάχοι' υἱέων γένετο.

*Β′* ἐπεί οἱ τρεῖς ἀεθλοφόροι πρὸς ἄκρον ἀρετᾶς
(25) ἦλθον, οἵ τε πόνων ἐγεύσαντο. σὺν θεοῦ δὲ τύχᾳ
25 3 ἕτερον οὔ τινα οἶκον ἀπε-
φάνατο πυγμαχία ⟨πλεόνων⟩

1 sq. [Plut.] pro nobil. 20, 10; Clem. Alex. strom. 5, 14, 102, 2; Stob. ecl. 2, 7, 13 (2, 121 W.-H.) || 4 schol. Eur. Med. 1224

(V), B D || 2 γαστρὸς Stob., ματρὸς πνέομεν ἄμφω Clem. || 3 αἰεὶ: Herm. || 8 δὲ del. E. Schmid || 10 ἄνδρεσσιν: Herm. || 13b τε del. Tricl. || 16 ὁμαιμίου: Schr. || 18 suppl. Bgk. || 19 ἰσθμῷ B, ἰσθμοῖῷ D: Tricl. || 20 τρίς: Herm. || 21 σωκλεΐδα: Wil. || 22 ἁγησιμάχῳ: Maas | υἱῶν: Wilh. Schulze | ἐγένετο: Tricl. || 25 suppl. E. Schmid e Σ 38 d

*νοι ἐσσάμενοι† Πριάμοι᾽ ἐπεὶ χρόνωι*
⁹ *βουλαῖσι θεῶν μακάρων*
*πέρσαν πόλιν εὐκτιμέναν*
*χαλκοθωράκων μετ᾽ Ἀτ|ρειδᾶν. δικαίας*
¹² *ὅστις ἔχει φρένας, εὑ-*
*ρήσει σὺν ἅπαντι χρόνωι*
*μυρίας ἀλκὰς Ἀχαιῶν.*

## 12 (11)

## ΤΕΙΣΙΑΙ ΑΙΓΙΝΗΤΗΙ

### ΠΑΛΑΙΣΤΗΙ ΝΕΜΕΑ

metrum: dactyloepitr (v. p. XXV) *Α′–Γ′*
*ΣΤΡ* ‿e‿D‿e‿|³D|‿D◡e|⁵‿D‿|⁶E‿||
⁷‿E‿e|||
*ΕΠ* ‿D|²‿D‿||³e‿D|⁴‿◡e‿|⁵[e]‿D‿|
[⁶⁻⁹] |||

*Α′* *Ὡσεὶ κυβερνήτας σοφός, ὑμνοάνασ-*
*σ᾽ εὔθυνε Κλειοῖ*
³ *νῦν φρένας ἁμετέρας,*
*εἰ δή ποτε καὶ πάρος· ἐς γὰρ ὀλβίαν*
*ξείνοισί με πότ|νια Νίκα*
⁶ *νᾶσον Αἰγίνας ἀπάρχει*
*ἐλθόντα κοσμῆσαι θεόδ|ματον πόλιν*
8 *τάν τ᾽ ἐν Νεμέᾱι γυιαλκέα μουνοπάλαν*
col 27 (desunt vv. 9–32)
*Β′* ³ ]·[ ]πιδ[
34 *ξεινου* [. . . .]*νιοι αστ*[×‿◡‿

periodi statuunt/cf. v. 77); *τὸ τιμῶσ᾽* Theiler, Mus Helv. 3, 24, qui confert Hdt. 1, 66 (W. Schulze, Kl. Schr. 354, 4); alia v. ap. J. et Cataudella Aeg. 31, 1951, 232 | ad *Κάσαν* fluvium Diels, Herm. 33, 334 || **120** ЄΠΙ: A³
**12 6** ad *ἀπάρχειν* et *ἄπαρχος* v. Wil. ad Aesch. Pers. 327; Ed. Fraenkel ad Aesch. Ag. 1227 || **33–42** = fr. Flor. B (cf. p. VIII et XLV) || **33** ]Υ[, ]Φ[, ]Ρ[, ]Τ[ sim. | [*ναέται* ‿‿]*πιδ᾽* [*εὐ*-] : *ξείνου-* [◡◡‿]*νιοι ἄστ*[*εος* e. g. Sn. || **34** Υ[ pot. qu. Τ[





⁵ *ἀμφικ[τιόν]ων ἐν ἀέθ|λοι[ς*
*σὺν τρι[άκο]ντ᾽ ἀγ|λααῖσιν*
⁷ *νίκαις [ἐκ]ωμάσθησαν οἱ μει[‿◡‿,*
*οἱ δ᾽ ἐν Πέλοπος ζαθέας*
*νάσου π[ι]τυώδεϊ δείρᾱι,*
⁸ *οἱ δὲ φοινικοστερόπα τεμένει*
*Ζηνὸς Νεμεαίου·*
⁵ . . .(. . .)] *ταύτας καὶ ἐπ᾽ ἀργυροδίνα*
col 28 (desunt vv. 43–69)

## 13 (12)

## [ΠΥΘΕΑΙ ΑΙΓΙΝΗΤΗΙ

### ΠΑΓΚΡΑΤΙΑΣΤΗΙ ΝΕΜΕΑ]

metrum: dactyloepitr (v. p. XXV) *Α′–Ζ′*
*ΣΤΡ* ‿D⏑e‿||³‿‿‿◡◡‿⏑|e ⏑ e‿|| (102; 148. 169. 202; 54?)
⁵‿D‿||⁶E‿D⏑e‿||⁹D⏑||¹⁰D⏑|
¹¹D‿e⏑e‿||| (123. 156)
*ΕΠ* ‿D⏑e|‿D⏑e‿|⁴e‿D‿E|| (58; 60?)
⁶‿D⏑ | e⏑e⏑e||⁸D⏑e⏑e‿||| (63–162? 196; 131 66)

*Α′* (desunt vv. 1–7)
col 29 (23) ‿‿◡‿‿]
⁹ ‿◡◡‿◡◡] *Κλειώ*
‿◡◡‿◡◡]′. . ερ[‿
¹¹ ‿◡◡‿◡◡‿]

**13** metri causa correctum 62 *παύροισ{ι}*, 100 *νί{ε}ας*, 110 *ὁ⟨π⟩-ποτε*; notandum 64 *κυάνεον*, 69 *πανθαλέων*. colometria: antistr. *γ′* 6/7 (v. 84sq.) et epod. *ε′* 3/4 (v. 159sq.) in unum contracti, illi quidem non sine gravi corruptela
**35** M. Norsa || **36** Sn. || **37** M. Norsa | *οἱ μεγασθενεῖς* vel *οἱ μὲν Πυθόι* Sn. (*Πυθίαις* P. Maas) || **39** *πιτ.* agn. Sn. || **40** ΡΌΠ || **41** ΑΙΟΥ· || **42** *ταύτας* Sn. || **43** *ὄχθαισιν Ἀλφειοῦ* vel *Ἀλφεοῦ᾽ ὄχθαις* e. g. Sn. cf. 8, 26 sq.
**13** de inscr. v. p. XLV || **9** ]Κ vel ]Α, tum Λ pot. qu. Α || **10** ЄΡ[ potius quam ЄΒ[

12 ‒‒⏑‒‒‒⏑‒]δαν·

Β′ (desunt ant. α′ et epod. α′ = vv. 13–33)
(desunt vv. VI)

7 ‒‒⏑⏑‒⏑⏑]ις
×‒⏑‒‒]
9 ‒⏑⏑‒⏑⏑‒×]·
‒⏑⏑‒⏑⏑‒‒]

col 30 (24)
11 ὕβ|ριος ὑψινόου
παύσει δίκας θνατοῖσι κραίνων·
1 οἵαν τινὰ δύσλοφον ὠ-
μηστᾶι λέοντι
3 Περσείδας ἐφίησι
χεῖρα παντοίαισι τέχ|ναις·
οὐ γὰρ] δαμασίμβροτος αἴθων
6 χαλ]κὸς ἀπ|λάτου θέλει
χωρε]ῖν διὰ σώματος, ἐ-
γ|νάμ]φθη δ' ὀπίσσω
9 φάσγα]νον· ἦ ποτέ φαμι
τᾶιδε] περὶ στεφάνοισι
11 παγκ]ρατίου πόνον Ἑλ-
λάνεσσι]ν ἱδρώεντ' ἔσεσθαι."
1 ἐκ τοῦ παρ]ὰ βωμὸν ἀριστάρχου Διός
Νίκας] φ[ε]ρ[ε]κυδέος ἀν-
στεφθε]ῖσιν ἄ[ν]θεα

**58** Apollon. de constr. 2, 161 (256, 1 Uhl.) (fr. 52 B.$^4$): *καθὼς ἔχει τὸ ἀρίσταρχος Ζεὺς παρὰ τοῖς περὶ τὸν Βακχυλίδην* (cf. etiam Simonidis fr. 614 P.)

**40** fr. 30 K. || **44** sqq. Wil. et Bl. nymphae Nemeae verba tribuunt. J. vasculorum figuris in usum vocatis Minervam patronam Herculis ad Nemeam verba facere putat, sed cf. Wil. Pind. 172, 2. orationem Minervae usque ad v. 66 producit Sitzler | ad str. *β′* v. 37 sq. cf. infra fr. 30 || **51** ]Κ, ]Α, ]Λ || **52** extr. Ε add. $A^3$ | Bl. || **53** ΟΠΙCCΩ: alterum C del. $A^3$? | Bl., Tyrrell || **55** Bl. || **56** ]Ρ, ]Β pot. qu. ]C vel ]Π, non ]Ν || **58** *ἐκ τοῦ* Wil. *ἔνθεν* Bruhn longius spatio || **58** sqq. cf. Wil. Pind. 173, 1 || **59** *νίκας* J. | Φ[, Υ[, Ρ[, Τ[ | ]Ρ[, ]Τ[, ]Ι[ sim. *φερεκ.* Wil. *ἐρικυδέος* (ut 190) legi non potest || **60** Sn.; *ἀνδεθεῖσιν* Housm. brevius spatio | *ἄνθεα* est subi.: 'flores alunt famam victoribus' Wil. l. l.





61 4 χρυσέ]αν δόξαν πολύφαντον ἐν αἰ-
ῶνι] τ|ρέφει παύροις βροτῶν
6 α]ἰεί, καὶ ὅταν θανάτοιο
κυάνεον νέφος καλύψηι, λείπεται
8 ἀθάνατον κλέος εὖ ἐρ-
χθέντος ἀσφαλεῖ σὺν αἴσᾱι.

Γ′
1 τῶν κα[ὶ σ]ὺ τυχὼν Νεμέᾱι,
Λάμπωνος υἱέ,
3 πανθαλέων στεφάνοισιν
ἀνθ]έ[ων] χαίταν [ἐρ]εφθείς
. . . . . .]πόλιν ὑψιάγυιαν
6 . . . . . . . τε]ρψιμ[β]ρότων
.[. . . . . . . . .] ἁβ[ροπν]όων
κώμ[ων] πατρ[ώια]ν
9 νᾶσο[ν], ὑπέρβι[ον] ἰσχὺν
παμμαχίαν ἄνα φαίνων.
11 ὦ ποταμοῦ θύγατερ
δινᾶντος Αἴγιν' ἠπιόφ|ρον,

col 31 (25)
1 ἦ τοι μεγάλαν [Κρονίδας
ἔδωκε τιμάν
3 ἐν πάντεσσιν [ἀγῶσιν,
πυρσὸν ὣς Ἑλλ[ασι ‒⏑
φαίνων· τό γε σὸν [κλέος αἰ]νεῖ
6 καί τις ὑψαυχὴς κό⟨ρα
‒‒⏑⏑‒⏑⏑⟩ραν

**61** sq. J. || **62** ΠΑΥΡΟΙCΙ: Platt, al. | ∼ 128 || **63** ΟΤΑΘ: $A^3$ || **70** . . .] ⁚[. .] cf. Sapph. fr. 98 (a) 8 L.-P. || **71** ]Π, ]Ι sim. | *αὔξων* (. . . 72 *ἤλυθες*) J., *στείχεις* Herw.; breviora spatio *γεύεις*, *ἦλθες* simm. || **72** *Αἰακοῦ* Bl. | ∼ 183 || **73** Ω[ vel Δ[?, certe non Α[ | *ὥστε β|ρύεν* e. g. Sn. | Β[ vel Ρ[ pot. qu. Ε[, non Δ[ *ἁβρ.* Bl.$^1$ || **74** Μ, Η, Ν, ΡΓ, ΙΤ sim. | de *κώμων* vix dubitari potest, quamquam pap. post Μ litt. Α, non Ω fuisse videtur || **76** ΧΙᾹΝ *παμμαχιᾶν ἀναφ.* K. || **78** ΔΙΝΑΝΕΟC: $A^1$ || **79** Bl. *ὅδε παῖς* K. || **81** Bl. *-σι?* ∼ 48 Barrett *ἀέθλοις* K. || **82** *τῆλε* Bl. *-σιν ἀλκάν* K. *-σι παντᾷ* J. || **83** Ν[, Ι[ sim. || **84** ΚΑΤΙC: $A^2$? | ΥΦΑΥΧ: J. | ΧΑC: $A^3$ | ΚΟ[. . . . . . . .]ΡᾹΝ (vel ΟᾹΝ) duo vv. in unum contracti, neque spatium sufficit ad tot syllabas || **85** *στείχουσ'* (*λευκοῖς* J.) *ἀνὰ γᾶν ἱεράν* Bl.

πόδεσσι ταρφέ̣ω̣ς
9 ἠΰτε νεβ'ρὸς ἀπεν[θής
ἀνθεμόεντας ἐπ[' ὄχθους
11 κοῦφα σὺν ἀγχιδόμ̣[οις
__ θρώισκουσ' ἀγακ'λειτα[ῖς ἑταίρα]ις·
1 ταὶ δὲ στεφανωσάμε[ναι φοιν]ι̣κ̣έων
ἀνθέ̣ω̣ν δόνακός τ' ἐ[πιχω-
ρίαν ἄθυρσιν
4 παρθ̣ένοι μέλπουσι τ[. . . . . . . .]ς, ὦ
δ̣έσποινα παγξε[ίνου χθονός,
6 Ἐν]δαΐδα τε ῥοδό[παχυν,
ἃ το[. .].' [. .]ων ἔτι[κτε Πηλέα
8 καὶ Τελαμ[ῶ]ν̣α [κρα]τ[α]ι[ὸν
)__ Αἰακῶι μιχθεῖσ' ἐν εὐ̣[νᾶι·
Δ' 1 τῶν υἷας ἀερσιμάχ̣[ους,
ταχύν τ' Ἀχιλλέα
3 εὐειδέ̣ο̣ς τ' Ἐριβοίας
παῖδ' ὑπέρθυμον βοά[σω
Αἴαντα σακεσφόρον ἥ[ρω,
6 ὅστ' ἐπὶ π'ρύμνᾶι σταθ[εὶς
ἔσχεν θρασυκάρδιον [ὁρ-
μαίνοντα ν[ᾶας
9 θεσπεσίωι πυ̣[ρὶ __
Ἕκτορα χαλ[κεομίτ'ρα]ν̣,

86 c in extr. valde certum || 87 ΝϵΚΡΟϹ: A² | ΑΠϵ́Ν: ΑΠϵ̀Ν A¹? || 89 Μ[, Ι[ sim. | J. || 90 ΘΡΩϹΚ: Bl. || 91 ]ΙΚ (Edm.) potius quam ]ΙΧ, suppl. Headlam || 92 J. || 94 τεὸν κράτος Bl. τεὸν κλέος J. || 95 ΠΑΓΞ A: ΠΑΙΞ A³? suppl. Housm. || 96 Palmer J. || 97 ΑΤΟ[ vel ΑΤΩ[ | ]Ω pot. qu. ]Α | ἔτικτεν Palmer J., sed cf. legem Maasianam p. XXIX || 98 ]Τ[, ]Φ[ sim. | ]Ι[ hasta | κραταιόν K. || 99 μειχθεῖσ' Bl. | ϵΙ[: ϵΥ[ A³? suppl. Sitzler; εὐναῖς J. || 100 τῶν ⟨θ'⟩ υἷας J. cetera ut penderent a μέλπουσι. supplendus igitur erat vers. 103 βοατάν (Bl.) aut βοαθόον (K.). neutrum placet; βοάσω Housm. Wil. puellae canunt Aeginam et Endaidem. poeta sibi proposuit Achillem et Aiacem celebrandos | ΥΙϵΑϹ: υἷας Chr. (cf. 3, 77); aut pro ΑϵΡϹΙΜ ἀρσιμ. (Bl.) || 101 ~ 134 || 105 ~ 150 || 106 ἴσχεν Ludw. || 108 καίειν K. καῦσαι Bl. πέρθειν Page || 109—114 suppl. fr. 18 K. || 109 ]Ν vel ]ΑΙ | cf. fr. 20 A, 14; Pind. N. 10, 90 aut χαλκοκορυστάν (Ε 699) | ~ 154





11 ὁππότ̣ε Πη[λεΐδας
__ τ̣ρα[χ]ε̣ῖαν̣ [Ἀτ'ρείδαισι μ]ᾶνιν
1 ὠ̣ρίνατ[ο, Δαρδανίδας
τ' ἔλυσεν ἄ[τας·
3 οἵ πρὶν μὲν [πολύπυργο]ν
col 32 (26) Ἰ]λίου θαητὸν ἄστυ
ο̣ὐ λεῖπον, ἀτυζόμενοι [δέ
6 π̣τᾶσσον ὀξεῖαν μάχα[ν,
εὖτ' ἐν πεδίωι κλονέω[ν
μαίνοιτ' Ἀχιλλεύς,
9 λαοφόνον δόρυ σείων·
ἀλλ' ὅτε δὴ πολέμοι[ο
11 λῆξεν ἰοστεφάνο[υ
__ Νηρῆιδος ἀτ'ρόμητο[ς υἱός,
1 ὥστ' ἐν κυανανθέϊ θ[υμὸν ἀνέρων
πόντωι Βορέας ὑπὸ κύ-
μασιν δαΐζει,
4 νυκτὸς ἀντάσας ἀνα̣π̣[–⏑⏑–
λῆξεν δὲ σὺν φαεσιμ[βρότωι
6 Ἀοῖ, στόρεσεν δέ τε πό[ντον
οὐρία· Νότου δὲ κόλπ̣[ωσαν πνοᾶι
ἱστίον ἁρπαλέως ⟨τ'⟩ ἄ-
)__ ελπτον ἐξί[κ]οντο χέ̣[ρσον.

123 Ammon. de voc. diff. 333 Nickau

110 ΟΠΌΤϵ | Ι[, Η[ sim. || 111 ]ΗΝΙΝ: A³? | Ἀργείοισι Bl.¹ Ἀτρείδαισι Bl.² spatio favente (Edm.) || 112 ΩΡϵ́ΙΝ: Bl. | Δαρδανίδας . . . ἄτας Desrousseaux Τρωσὶ δὲ πάντ' ἔλυσεν αἰνά Bl. || 114 Bl. θεότιμον Jur., Smyth || 116 οὐ Bl. || 118 ΠϵΔΙΟΝ: A³ || 120 ΛΑΙΟΦ: A³? || 123 ΡΗ͂ΙΔ || 124 Schw. cf. Ο 624 sqq. (629 ὣς ἐδαΐζετο θυμός). imagines ab Achaeis ad Troas transtulit B. Θρᾳκὶ ναυβάτας Herw. || 125—127 suppl. fr. 38ᵇ K. || 127 ΑΝΤΑϹΑΝΥΜ[: A³ | Π[ pot. qu. Τϵ[ vix ΤΟ[ | ἀνατελλομένας Bl. ἀναπεπταμένας Crusius || 128 Τϵ: Δϵ A³? | φαυσιμβρότῳ sec. Pind. O. 7, 39 Bl. || 129 ΑΟ͂Ϊ | cf. γ 158; Soph. Ai. 674; Verg. Aen. 3, 69 *placataque venti dant maria* 5, 763 *placidi straverunt aequora venti* || 130 ΟΥΡΑΝΙΑ: ΟΥΡΙΑΙ A¹ (quod cum πνοᾶι coniungi voluisse vid.) | ΌΛΙ[ | κόλπωσαν πνοιαῖς Bl. cf. 5, 28 πνοᾶι J. | A.P. 9, 363, 10 πνοιῇ ἀπημάντῳ Ζεφύρου λίνα κολπώσαντες || 131 Λϵ́ΩΤΑ: mutavit Τ in Ϲ A³? τ' Bl. || 132 Ξ.'[.]Ο

E′ 1 ὡς Τρῶες, ἐπ[εὶ] κλύον [αἰ-
χματὰν Ἀχιλλέα
3 μίμνο[ντ'] ἐν κλισίῃσιν
εἵνεκ[ε]ν ξανθᾶς γυναικός,
Β]ρ[ι]σηΐδος ἱμερογυίου,
6 θεοῖσιν ἄντειναν χέρας,
φοιβὰν ἐσιδόντες ὑπαὶ
χειμῶνος αἴγλαν·
9 πασσυδίᾱι δὲ λιπόντες
τείχεα Λαομέδοντος
11 ἐ]ς πεδίον κρατερὰν
ἄϊξαν ὑ[σ]μίναν φέροντες·
1 ὦρσάν τ[ε] φόβον Δαναοῖς·
ὤτρυνε δ' Ἄρης
3 ε]ὐεγχής, Λυκίων τε
Λοξίας ἄναξ Ἀπόλλων·
ἶξόν τ' ἐπὶ θῖνα θαλάσσας·
col 33 (27) 6 ν]αυσὶ δ' εὐπρύμνοις παρα⟨ὶ⟩
μάρναντ', ἐναριζ[ομέν]ων
δ' ἐρ]ευθε φώτων
9 αἵμα]τι γαῖα μελα[–
Ἑκτορ]έας ὑπὸ χει[ρός,
11 . . . . ]εγ' ἡμιθέοις
. . . . . ] ἰσοθέων δι' ὁρμάν.
1 . . . . . ]ρονες, ἦ μεγάλαισιν ἐλπίσιν

133 π[ pot. qu. ґ[ | amplum spatium litt. [ει] || 135 ∼ 48 | cf. p. XIX de forma epica κλισίῃσιν || 138 ΘΕ..ΗΝ: ΟΙϹ supra v., Η in Ι mut. A³? | Ν, Χ, Λ, non Δ || 139 ΦΟῚΒΑΝ || 141 ΠΑϹϹΥΔΙΑϹ | ΜΕΛΠΟΝΤΕϹ: ΔΕΛΙΠΟΝΤΕϹ A³? || 149 ΘΕΙΝΑ (ut Aristarchus scripsisse dicitur) || 150 παραὶ Bl. cf. p. XX || 152 ]ΕΥΘΕ: ΤΟ supra v. add. A³ | ad usum insolitum activi Wil. Herm. 34, 637 cf. Hippocr. π. νούσων 4, 38 || 153 μέλα[ινα K. μελα[νθεῖσ' Page || 154 ∼109 || 155 sq. ἦν δὲ μέγ' (longius spatio) ἡμιθέοι⁝σιν πένθος (idemque longius) Schw. πῆμα μέγ' (longius spatio) . . . ὀξεῖαν J. ἦε μέγ' Pfeiffer || 156 ΙϹ[.]ΘΕΩΝ: Ο supra v. add. A³? | ΔΙ ΟΡΜΑΝ· A Δ' ΟΡΜΑΝ· A³? || 157—169 ope minorum frr. suppl. Bl. || 157 ]Ρ vel ]Υ vel ]Ϊ esse vid. ἆ δύσφρονες Bl., sed hasta litt. φ appareret





. . . . ]οντες ὑπερφ[ία]λον
◡–◡––
4 . . . . ]ς ἱππευταὶ κυανώπιδας ἐκ-
––◡–––] νέας
6 ––◡◡ εἰλα]πίνας τ' ἐν
. . . . . ]ρεις ἕξειν θ[εόδ']ματον πόλιν.
8 μ]έλλον ἄρα π'ρότε[ρο]ν δι-
ν]ᾶντα φοινίξειν Σκ]άμανδρ[ον,
F′ 1 θ]νάισκοντες ὑπ' [Αἰα]κίδαις
ἐρειψ[ιπ]ο[λ]ιχοις·
3 τῶν εἰ καὶ τ[◡◡––
ἢ βαθυξύλῳ[ι ◡––
(desunt vv. V)
οὐ γὰρ ἀλαμπέϊ νυκ[τός
11 πασιφανὴς Ἀρετ[ὰ
κρυφθεῖσ' ἀμαυρο[ῦται ◡––
1 ἀλλ' ἔμπεδον ἀκ[αμάτᾱι
βρύουσα δόξᾱι
3 στρωφᾶται κατὰ γᾶν [τε
καὶ πολύπ'λαγκτον θ[άλασσαν.
[κ]αὶ μὰν φερεκυδέα ν[ᾶσον
6 Αἰακοῦ τιμᾶι, σὺν Εὐ-
κλείᾱι δὲ φιλοστεφ[άνωι

158 χαίροντες s. κλάζοντες K. αὐχέοντες Rich. πνέοντες Bl. πνείοντες Ludw. Jur. || 159 μάταν ἔφαντο Schw. δόκευν Ἀχαιῶν Bl. φρόνημ' ἐθάρσευν J. || 160—162 νᾶας ἱ. κ. ἐ. εἰρήνας νέας βλέψειν φάος εἰλαπίνας τ' ἐν ἑσπέραις ἕξειν θ. π. Schw. || 160 Τρῶες Nairn alii νᾶας Bl. || 161 ἐκ⁝πέρσαντες ἐξ ἀρχᾶς νέας (a νέος!) Bl. ἐκ⁝φλέξασιν εὐσέλμους νέας Nairn ἐκ⁝πέρσασιν Ἀργείων νέας J. || 163 de Ρ vix dubitandum, Ε pot. qu. Α || 164 Ε[, Ι[ sim. || 165 ΕΙ[ non ΑΙ[ || 167 ]'Ι[, suppl. K. || 168 Τ[ pot. qu. Υ[ || 168 sqq. sententia haec fere: quorum (Aeacidarum) etsi corpora obruta sunt βαθυξύλῳ πυρᾷ sive (nempe Aiacis) terrae aggere, fama tamen immortalis viget (Bl.) || 169 Ω[, Ο[, Ε[ || 175 ΑΛΛΕΠΙ: ΑΛΛΕ[[Π]]Ϊ (ΜΠ supra) A³ | Κ[, Ι[ sim. || 177 καλύπτραι Housm. ἀλαμπέσι (175) . . . δνόφοισιν K. et Tyrrell || 178 -μάται Bl. Platt -ματος K. || 181 ΠΛΑΓΚΤΑΝ: A³ || 183 de Eunomia et Eucleia cf. Wil., Glaube d. Hell. 1, 184sq.

col 34 (28) πόλιν κυβερνᾶι,
9 Εὐνομία τε σαόφ'ρων,
ἃ θαλίας τε λέλογχεν
11 ἄστεά τ' εὐσεβέων
ἀνδρῶν ἐν εἰ[ρ]ήνᾱι φυλάσσει·
1 νίκαν τ' ἐρικυ[δέα] μέλπετ', ὦ νέοι,
Π]υθέα, μελέτα[ν τε] βροτω-
φ[ε]λέα Μενάνδρου,
4 τὰν ἐπ' Ἀλφειοῦ τε ῥο[αῖς] θαμὰ δὴ
τίμασεν ἁ χρυσάρματος
6 σεμνὰ μεγάθυμος Ἀθάνα,
μυρίων τ' ἤδη μίτραισιν ἀνέρων
8 ἐστεφάνωσεν ἐθείρας
ἐν Πανελλάνων ἀέθ'λοις.

Z′ 1 ε]ἰ μή τινα θερσι[ε]πὴς
φθόνος βιᾶται,
3 αἰνείτω σοφὸν ἄνδρα
σὺν δίκᾳι. βροτῶν δὲ μῶμος
πάντεσσι μέν ἐστιν ἐπ' ἔργοι[ς·
6 ἁ δ' ἀλαθεία φιλεῖ
νικᾶν, ὅ τε πανδ[α]μάτω[ρ
χρόνος τὸ καλῶς
9 ἐ]ργμένον αἰὲν ἀ[έξει·
δ]υ[σ]μενέ[ω]ν δὲ μα[ταία
209 11 γλῶσσ'] [ἀϊδ]ὴς μιν[ύθει
(desunt vv. X)

col 35 (29) ἐλπίδι θυμὸν ἰαίν[-

**208 sq.** Cram. An. Ox. 1, 65, 22 *Βαρυτόνως τὸ Ἀΐδης· τὸ γὰρ ἐπιθετικὸν ὀξύνεται. δυσμενέων δ' ἀϊδὴς λέγει Βακχυλίδης* (fr. 46 B⁴); fortasse ex Herodiano, cf. 1, 80, 2 Lentz

**193** *θαμὰ* Nairn alii ‖ **199** Cl̇ΊΠ ‖ **202** ΒΡΥΩΤΩΝ: A¹? ‖ **203** huc fr. 30 K. traxit Edm., sed cf. v. 40 ‖ **207** *ἀργμ.*? Wackern., conferens *ὕπαργμ.* Hdt. 7, 11, 13 ‖ **208** ]Y[ fere certum ‖ **208 sq.** Bl. ‖ **209** ]Η, ]Ι sim. | ∼ 176, 155 ‖ **220 sq.** cf. Schw., Herm. 39, 638. Körte, Herm. 53, 142. Wil. Pind. 172, 1





221 11 τᾶι καὶ ἐγὼ πίσυνο[ς
φοινικοκραδέμνοις [τε Μούσαις
1 ὕμνων τινὰ τάνδε ν[εόπ'λοκον δόσιν
φαίνω, ξενίαν τε [φιλά-
γ'λαον γεραίρω,
4 τὰν ἐμοὶ Λάμπων [◡◡–◡◡–
βληχρὰν ἐπαθ'ρησαιστ[◡–
6 τὰν εἰκ ἐτύμως ἄρα Κλειὼ
πανθαλὴς ἐμαῖς ἐνέσταξ[εν φρασίν,
τερψιεπεῖς νιν ἀ[ο]ιδαὶ
8 παντὶ καρύξοντι λα[ῶ]ι.

## 14 (13)

# ΚΛΕΟΠΤΟΛΕΜΩΙ ΘΕΣΣΑΛΩΙ

## ΙΠΠΟΙΣ ΠΕΤΡΑΙΑ

metrum: dactyloepitr. (v. p. XXV)
*ΣΤΡ* e_D_e_‖³E_E◡‖⁵_D_E_E‖|
*ΕΠ* _D|_D_|³e_d¹e_D_|⁵D|
⁶_E_D_|⁸E◡e_‖|

A′ Εὖ μὲν εἱμάρθαι παρὰ δαίμ[ονος ἀν-
θρώποις ἄριστον·

**14** metri causa correctum v. 3 *ἐσθλόν* ⟨τ'⟩

**222** C[ potius quam O[ *-οισι Μούσαις* Bl. *-οις τε Μούσαις* Nairn, alii aliter ‖ **223** ΔΕΙ[: ΔΕΝ A³ | *ἰοπλοκ.* A, *νεοπλοκ.* A³ scripsisse suspic. Bl. *νεοπλόκων δόσιν* Bl. *νεόπλοκον* J. ‖ **224** ΦΑΙΝΩΝ: A¹? ‖ **227—230** extrema sunt in fr., quod adiunxit Bl. ‖ **226 sq.** *παρέχων χάριν* (J.) *οὐ* (Housm.) *βληχρὰν ἐπαθρήσαις* (Platt: part. aor. vix recte) *τίει* (Bl.) Bl. et J.; eadem, sed *ἐπαθρῆσαι στόμα* Wil. *τὰν ἐμοί, Λάμπων, σὺ νέμων δόσιν οὐ βλ. ἐπαθρήσαις* (optat.) *τέκνωι* Schwartz; *σὺ νέμεις· χάριν . . . τέκνου* Sn. ‖ **228** ΕΙΚ': *εἴ γ'* Bl. alii, sed *εἰκ* = *εἰ* W. Schulze et dubitanter Wil., qui conf. Hdt. 1, 174 et Ar. Lys. 1099 (cf. Wil. ad l.) ‖ **229** J., sed *φρεσίν*; *φρασίν* Bl. Housm.
**14** Wil. S. u. S. 183 ‖ **1** Μ[ et **5** Υ[ in parvo fr. conserv. huc traxit Edm. ‖ **1** *δαίμοσιν* K. *-ονος* Bl. alii

col 7 (36)

1 *κόμαισί τ' ἐπέθηκεν οὔλαις*
2 *ἀμεμφέα π'λόκον,*
3 *τόν ποτέ οἱ ἐν γάμωι*
4 *δῶκε δόλιος Ἀφ'ροδίτα ῥόδοις ἐρεμνόν.*
5 *ἄπιστον ὅ τι δαίμονες*
6 *θέλωσιν οὐδὲν φρενοάραις βροτοῖς·*
7 *νᾶα πάρα λεπτόπρυμνον φάνη· φεῦ,*
8 *οἵαισιν ἐν φροντίσι Κ'νώσιον*
9 *ἔσχασεν στραταγέταν, ἐπεί*
10 *μόλ' ἀδίαντος ἐξ ἁλός*
11 *θαῦμα πάντεσσι, λάμ-*
*πε δ' ἀμφὶ γυίοις θεῶν δῶρ', ἀγ'λαό-*
*θρονοί τε κοῦραι σὺν εὐ-*
*θυμίᾶι νεοκτίτωι*
15 *ὠλόλυξαν, ἔ-*
*κλαγεν δὲ πόντος· ἠΐθεοι δ' ἐγγύθεν*
17 *νέοι παιάνιξαν ἐρατᾶι ὀπί.*
18 *Δάλιε, χοροῖσι Κηΐων*
*φρένα ἰανθείς*
20 *ὄπαζε θεόπομπον ἐσθλῶν τύχαν.*

Chrestom. 126 col. 2, 21 *ὠνησάμενον ἀόνας* (col. 3, 2 *ὠνησάμενοι τὰ ὀθόνια*); Hesych. *ἔλυμα . . . καὶ ἡ αἰών* || **116** ΔΟΛΙC: A² | ΡΌΔ || **118** *θέωσιν* Cr. coll. *ϑ* 465; *λῶσιν* Palmer; cf. 3, 57. Pind. P. 10, 48 || **119** ΛΑΑ: A²? || **120** ΦΟΝΤΙCCΙ: A¹? || **121** i. e. *ἐτέτατο μὲν ὁ Μίνως προσδοκῶν φευξεῖσθαι, ἀλλ' ἔπαυσεν αὐτὸν ὁ Θησεύς* || **124** ΑΓΛΟ: K. || **129** de -*αϊ*- cf. p. XXI || **131** *φρένας* J., sed v. p. XXI, Maas, Resp. 2, 17 sq.





## 18 (17) = dith. 4

## *ΘΗΣΕΥΣ* ⟨*ΑΘΗΝΑΙΟΙΣ*⟩

metrum: glyconei (v. p. XXXII) *Α'–Δ'*

| | | | | | |
|---|---|---|---|---|---|
| 1 ⏑⏑— | —⏑⏑—⏑— | —\|× | —⏑⏑—⏑— | ⏑—⏓\| (17.32) | 2 *gl ba* \|\| |
| 3 ⏑⏑⏑ | —⏑⏑—⏑—: | —⁞— | —⏑⏑—⏑— | ⏑——\| | 2 *gl ba* \| |
| 5 (20) ⏕× | —⏑⏑—⏑—⁞ | —:× | —⏑⏑—⏑— | —\|×—⏑—⏑—\| | 2 *gl lec* \| |
| 8 —— | —⏑⏑—⏑⏓\|\| (38) | | | | *gl* \|\| |
| 9 —⏑ | —⏑⏑—⏑— | —\|— | —⏑⏑—⏑⏓\| (40) | | 2 *gl* \|\| |
| 11 —× | —⏑⏑—⏑— | —\|× | —⏑⏑—⏑— | ⏑—⏑—\|\| | 2 *gl ia* \|\| |
| 13 —× | —⏑⏑—⏑— | —⏑—⏑—⏑—\| | | | *gl lec* \| |
| 15 —— | —⏑⏑—⏑— | ⏑——\|\|\| | | | *gl ba* \|\|\| |

*Α'* ⟨*ΧΟΡΟΣ*⟩ 1 *Βασιλεῦ τᾶν ἱερᾶν Ἀθανᾶν,*
*τῶν ἁβ'ροβίων ἄναξ Ἰώνων,*
3 *τί νέον ἔκ'λαγε χαλκοκώδων*
*σάλπιγξ πολεμηΐαν ἀοιδάν;*
5 5 *ἦ τις ἁμετέρας χθονὸς*
*δυσμενὴς ὅρι' ἀμφιβάλλει*
*στραταγέτας ἀνήρ;*
8 *ἢ λῃσταὶ κακομάχανοι*
9 9 *ποιμένων ἀέκατι μήλων*

**18** metri causa correctum: 16 *ἦλθε⟨ν⟩*, 24 *Κρεμ⟨μ⟩υῶνος*, 28 *ἐξέβαλ{λ}εν*, 33 *ὁπλοισιν*: *ὁπάοσιν*, 51 *ὕπερ*: *πέρι*, 56 *ἐμ⟨μ⟩εν*

**18 2** Syrian. 1, 47 Rabe (fr. 42 B.) *ἁβρότεροι ἐξ ἀρχαίου οἱ Ἴωνες, ὡς Β. τε ὁ λυρικός φησι ὁ Σιμωνίδου τοῦ μελοποιοῦ ἀδελφιδοῦς 'τῶν ἁβροβίων Ἰώνων ἄναξ'*. eodem spectat Joh. Sicel. 6, 241 Walz: *ἁβροὶ γὰρ τὸ παλαιὸν οἱ Ἴωνες, ὥς που καὶ Βακχυλίδης φησὶ τῶν σφῶν αὐτῶν ῥυθμὸν δηλῶν. 'ἁβρότητι ξυνέασιν Ἴωνες βασιλῆες'* (cf. Wil. Pind. 93, 4)

**18** Maas, Resp. 1, 30 || **2** ΑΒΡΟΒΙΚΩΝ et ΙΕΡΩΝΩΝ: A³? || **3** ΤΙ: ΤΙC A³? | ΧΑΛΚΟΔΩΔΩΝ: A³ || **5** *ὑμετ.* Maas cf. 5, 11; Pind. pae. 6, 139; Callim. fr. 228, 70 || **6** ΟΡΕΙ: A¹? || **8** ΛΕΙΤΑΙ: ΛΗCΤΑΙ A³ | cf. *ι* 405 *ἦ μή τίς σευ μῆλα βροτῶν ἀέκοντος ἐλαύνει;* (Maas) || **9** Α'ΕΚΑΤΙ: Palmer, van Branteghem

σεύοντ᾽ ἀγέλας βίᾱι;
11 ἢ τί τοι κραδίαν ἀμύσσει;
φθέγγευ· δοκέω γὰρ εἴ τινι β|ροτῶν
13 ἀλκίμων ἐπικουρίαν
καὶ τὶν ἔμμεναι νέων,
15 ὦ Πανδίονος υἱὲ καὶ Κρεούσας.

Β′ ⟨ΑΙΓΕΥΣ⟩ 1 Νέον ἦλθε⟨ν⟩ δολιχὰν ἀμείψας
col 8 (37) κᾶρυξ ποσὶν Ἰσθμίαν κέλευθον·
3 ἄφατα δ᾽ ἔργα λέγει κραταιοῦ
φωτός· τὸν ὑπέρβιόν τ᾽ ἔπεφ|νεν
5 Σίνιν, ὃς ἰσχύϊ φέρτατος
θνατῶν ἦν, Κρονίδα Λυταίου
σεισίχθονος τέκος·
8 σῦν τ᾽ ἀνδροκτόνον ἐν νάπαις
9 Κρεμμυῶνος ἀτάσθαλόν τε
Σκίρωνα κατέκτανεν·
11 τάν τε Κερκυόνος παλαίστραν
ἔσχεν, Πολυπήμονός τε καρτερὰν
13 σφῦραν ἐξέβαλεν Προκό-
πτας, ἀρείονος τυχὼν
15 φωτός. ταῦτα δέδοιχ᾽ ὅπᾱι τελεῖται.

Γ′ ⟨ΧΟ.⟩ 1 Τίνα δ᾽ ἔμμεν πόθεν ἄνδρα τοῦτον
λέγει, τίνα τε στολὰν ἔχοντα;
3 πότερα σὺν πολεμηΐοις ὅ-
π|λοισι στρατιὰν ἄγοντα πολλάν;
5 ἢ μοῦνον σὺν ὀπάοσιν

10 CEYONTI: A¹ || 12 ΦΘΕΓΓΟΥ: Bl. Wackern. || 13 ΑΛΚΙΜΟΥ: A³ || 16 v. add. in extr. pag. A⁴ | N vel H, vix M | de Є dubitari non potest | ΗΛΘΕ || 18 ΛΕΓΕΙΝ: A³ || 24 ΚΡΕΜΥΩΝΟϹ || 25 cf. Kretschmer, Gr. Vaseninschr. 131 sq., Pfeiffer ad Callim. fr. 296 || 26 ΚΕΡΚΥΝΟϹ: A³ || 27 sqq. coniungendum est Πολυπήμονος σφῦραν. Προκόπτας = att. Προκρούστης. Paus. 1, 38, 5 Πολυπήμων ὄνομα, Προκρούστης δὲ ἐπίκλησιν, itaque Πολυπήμονος hic nomin. esse volunt Wil. et Maas, Resp. 1, 30, 1 cf. P. Ox. 1087, 21–61, sed cf. Ov. Ib. 407, qui 'cum Polypemone' filium Procrustem necatum esse narrat; cf. Robert, GrHeldens. 2, 272 || 28 ΕΞΕΒΑΛΛΕΝ || 30 vel potius ὅπα, cf. ad 10, 47 | ~ 45 || 32 ~ 47 || 34 ΣΤΡΑΤΑΝ: A³ || 35 ΟΠΛΟΙΣΙΝ (33 sq.): Weil, Festa, alii





36 στείχειν ἔμπορον οἶ᾽ ἀλάταν
ἐπ᾽ ἀλλοδαμίαν,
8 ἰσχυρόν τε καὶ ἄλκιμον
9 ὧδε καὶ θρασύν, ὃς τ⟨οσ⟩ούτων
ἀνδρῶν κρατερὸν σθένος
11 ἔσχεν; ἦ θεὸς αὐτὸν ὁρμᾶι,
δίκας ἀδίκοισιν ὄφ|ρα μήσεται·
13 οὐ γὰρ ῥάιδιον αἰὲν ἔρ-
δοντα μὴ ᾽ντυχεῖν κακῶι.
15 πάντ᾽ ἐν τῶι δολιχῶι χρόνωι τελεῖται.

Δ′ ⟨ΑΙΓ.⟩ 1 Δύο οἱ φῶτε μόνους ἁμαρτεῖν
λέγει, περὶ φαιδίμοισι δ᾽ ὤμοις
3 ξίφος ἔχειν ⟨⏑⏑–⏑––⟩
ξεστοὺς δὲ δύ᾽ ἐν χέρεσσ᾽ ἄκοντας
col 9 (38) 5 κηΰτυκτον κυνέαν Λάκαι-
ναν κρατὸς πέρι πυρσοχαίτου·
χιτῶνα πορφύρεον
8 στέρνοις τ᾽ ἀμφί, καὶ οὔλιον
9 Θεσσαλὰν χλαμύδ᾽· ὀμμάτων δὲ
στίλβειν ἄπο Λαμνίαν
11 φοίνισσαν φλόγα· παῖδα δ᾽ ἔμμεν
πρώθηβον, ἀρηΐων δ᾽ ἀθυρμάτων
13 μεμνᾶσθαι πολέμου τε καὶ
χαλκεοκτύπου μάχας·
15 δίζησθαι δὲ φιλαγ|λάους Ἀθάνας.

36 ΣΤΙΧΕΙΝ || 39 ΟΣΤΟΥΤΩΝ: Platt ὅστε Palmer ὃς τοιούτων K. || 40 ΚΑΡΤΕΡΟΝ || 41 ΕΧΕΝ: A³? || 43 cf. Pind. N. 4, 32 ῥέζοντα καὶ παθεῖν ἔοικεν, Aisch. Cho. 313 etc. || 46 ὁμαρτεῖν K., sed cf. Bechtel, Gr. Dial. 3, 275 || 47 cf. Soph. fr. 415 N. (Maas) || 48 ἐλεφαντόκωπον Desrouss. cf. Alc. 350 L.-P. Long. 4, 21. Ov. Met. 7, 422 (Liddell-Scott-Jones s. v. ἐλεφαντόκωπος p. 2067; Herter, Rh. Mus. 88, 1939, 279, 166) || 51 ΥΠΕΡ: Bl. | -χαίτα Maas cf. εὐχαίτας χρυσοχαίτας || 52 sq. τε inusitate quarto loco ut vox στέρνοις extollatur; στέρν. τε πορφ. χιτῶν᾽ ἄμφι Wil. Platt, sed obstat metrum || 53 ΣΤΕΡΝΟΙΣΙ A¹ | ἀμφί sec. gramm., non ἄμφι (Headl.) || 55–57 add. A³ in marg. superiore || 56 ΕΜΕΝ || 59 ΧΑΛΚΕΝΚΤΥΠΟΥ: A³ || 60 ΙΖΗΣΘ (pro Θ ab initio A fuit) ΑΙΔΕ add. A³ in spatio quod A vacuum reliquerat